
M Burghers

M Burghers sculp

~~Gal 9~~ N. e

ΞΕΝΟΦΩΝΤΟΣ

Λόγος εἰς Αγησίλαον βασιλέα.
Λακεδαιμονίων Πολιτεία.
Αθηναίων Πολιτεία.
Συμπόσιον.
Ἱέρων ἢ Τυραννικός.
Πόροι ἢ περὶ προσόδων.

K. Xenophon

Ἐκ ΘΕΑΤΡΟΥ ἐν ΟΞΟΝΙΑ
Ετει ᾳχζα. 1691

20

MVSEVM
BRITAN
NICVM

ΞΕΝΟΦΩΝΤΟΣ
ΛΟΓΟΣ
Εις Αγησίλαον τὸν Βασιλέα.

ΚΕΦ. α′.

ΟΙΔΑ μὲν, ὅτι τοῦ Αγησιλάου ἀρετῆς τε καὶ δόξης οὐ ῥᾴδιον ἄξιον ἔπαινον γράψαι, ὅμως δ' ἐγχειρητέον. οὐ γὰρ ἂν καλῶς ἔχοι, εἰ, ὅτι τελέως ἀνὴρ ἀγαθὸς ἐγένετο, διὰ τοῦτο * δὲ μειόνων ἂν τυγχάνοι ἐπαίνων.

β′. Περὶ μὲν οὖν εὐγενείας αὐτοῦ, τί ἂν τις μεῖζον καὶ κάλλιον εἰπεῖν ἔχοι, ἢ ὅτι ἔτι καὶ νῦν τοῖς προγόνοις ὀνομαζομένοις ἀπομνημονεύεται ὁποστὸς ἀφ' Ηρακλέους ἐγένετο, καὶ τούτοις

XENOPHONTIS
ORATIO
De Ageſilao Rege.

CAP. I.

EQUIDEM ſcio non eſſe facile, laudationem Ageſilai virtute ac gloria dignam ſcribere, nihilo tamen minus erit mihi hoc conandum. Non enim recte ſe res habeat, eum, quod vir conſummatæ virtutis fuerit, propterea minores laudes conſequi.

* 2. De ipſius igitur generis nobilitate, quid vel majus vel honeſtius dici poſſit, quam quod hac etiam tempeſtate commemoratur, quotus inter illuſtres majores ſuos ab ipſo Hercule fuerit; neque illos certe

τοῖς οὐκ ἰδιώταις, ἀλλ' ἐκ βασιλέων βασιλεῦσιν;

γ'. Ἀλλὰ μὴν οὐδὲ ταύτῃ γ' ἄν τις ἔχοι καταμέμψασθαι αὐτοὺς, ὡς βασιλεύουσι μὲν, πόλεως δὲ τῆς συντυχούσης· ἀλλ' ὥσπερ τὸ γένος αὐτῶν τῆς πατρίδος ἐντιμότατον, οὕτω καὶ ἡ πόλις ἐν τῇ Ἑλλάδι ἐνδοξοτάτη. ὥστε οὐ δευτέρων πρωτεύουσιν, ἀλλ' ἡγεμόνων ἡγεμονεύουσι.

δ'. Τῇ δέ γε μὴν καὶ κοινῇ ἄξιον ἐπαινέσαι τήν τε πατρίδα καὶ τὸ γένος αὐτοῦ. ἥ τε γὰρ πόλις οὐδεπώποτε φθονήσασα τοῦ προτετιμῆσθαι αὐτοὺς, ἐπεχείρησε καταλῦσαι τὴν ἀρχὴν αὐτῶν· οἵ τε βασιλεῖς οὐδεπώποτε μειζόνων ὠρέχθησαν, ἢ ἐφ' οἷσπερ ἐξ ἀρχῆς τὴν βασιλείαν παρέλαβον. τοιγαροῦν ἄλλη μὲν οὐδεμία ἀρχὴ φανερά ἐστι διαγεγενημένη ἀδιασπάστως, οὔτε δημοκρατία, οὔτε ὀλιγαρχία, οὔτε τυραννὶς, οὔτε βασιλεία· αὕτη δὲ μόνη διαμένει συνεχὴς βασιλεία.

ε'. Ὡς γε μὴν καὶ πρὶν ἄρξαι ἄξιος τῆς βασιλείας ἐδόκει

εἶ

certe privatos homines, ſed reges ortos ex regibus?

3. Itidem ne hac quidem in parte eos quiſquam vituperare poteſt, quod reges ſane fuerint, at urbis obſcuræ: ſed quemadmodum eorum gens inter alias patriæ ornatiſſima eſt, ſic & urbs ipſa in Græcia maxime eſt illuſtris. Quo fit ut inter ſecundas non primas obtineant, ſed inter principes principe loco ſint.

4. Hanc etiam ob cauſam æquum eſt una & patriam & gentem ipſius laudare. Quippe nunquam urbs invidia mota, quod eximiis fruerentur honoribus, evertere eorum imperium molita eſt; & reges nunquam majora concupivere, quam pro conditionibus, quibus initio regnum acceperant. Itaque nullum aliud imperium, non popularem civitatis ſtatum, non dominationem paucorum, non tyrannidem, non regnum inconvulſum permanſiſſe conſtat; quum ſolum hoc regnum perpetuum ſit.

5. Quod autem Ageſilaus, antequam regnaret, dignus regno videretur,

εἶναι Ἀγησίλαος, τάδε τὰ σημεῖα. ἐπεὶ γὰρ Ἆγις βασιλεὺς ὢν ἐτελεύτησεν, ἐρισάντων περὶ τῆς ἀρχῆς Λεωτυχίδα μὲν, ὡς Ἄγιδος ὄντος υἱοῦ, Ἀγησιλάου δὲ, ὡς Ἀρχιδάμου, κρίνασα ἡ πόλις ἀνεπικλητότερον εἶναι Ἀγησίλαον καὶ τῷ γένει καὶ τῇ ἀρετῇ, τοῦτον ἐστήσατο βασιλέα. καί τοι τὸ ἐν τῇ κρατίστῃ πόλει ὑπὸ τῶν ἀρίστων κριθέντα τοῦ καλλίστου γέρως ἀξιωθῆναι, ποίων ἔτι τεκμηρίων προσδεῖται τῆς γε πρὶν ἄρξαι αὐτὸν ἀρετῆς;

ς′. Ὅσα γε μὴν ἐν τῇ βασιλείᾳ διεπράξατο, νῦν διηγήσομαι. ἀπὸ γὰρ τῶν ἔργων καὶ τοὺς τρόπους αὐτοῦ κάλλιστα νομίζω καταδήλους ἔσεσθαι. Ἀγησίλαος τοίνυν ἔτι μὲν νέος ὢν ἔτυχε τῆς βασιλείας. ἄρτι δὲ ὄντος αὐτοῦ ἐν τῇ ἀρχῇ, ἐξηγγέλθη βασιλεὺς ὁ Περσῶν ἀθροίζων καὶ ναυτικὸν καὶ πεζὸν πολὺ στράτευμα, ὡς ἐπὶ τοὺς Ἕλληνας.

ζ′. Βουλευομένων δὲ περὶ τούτων Λακεδαιμονίων καὶ τῶν συμμάχων, Ἀγησίλαος ὑπέστη, ἐὰν δῶσιν αὐτῷ ★ πεντήκοντα μὲν Σπαρτιατῶν, ★ τρισχιλίους δὲ νεοδαμώδεις, εἰς ἑξακισχιλίους

δὲ

deretur, hæc ſunt indicia. Nam quum rex Agis vivendi finem feciſſet, contendentibus de regno Leotychida, ut Agidis, & Ageſilao, ut Archidami filio, urbs ipſa, ubi Ageſilaum tum genere tum virtute illuſtriorem dijudicaſſet, eum regem conſtituit. At vero quum in urbe potentiſſima dignus munere pulcerrimo judicatus fuerit, & quidem à viris optimis, cujuſmodi amplius opus eſt argumentis virtutis quæ in eo fuerit antequam imperaret?

6. Quas autem res in imperio ſuo geſſerit, jam commemorabo. Nam de rebus geſtis etiam mores ipſius, mea quidem ſententia, optime indicari poterunt. Ageſilaus itaque regnum adhuc juvenis conſequutus eſt. Quumque recens imperio potitus eſſet, nuntiatum fuit, Perſarum regem magnas tum navales tum terreſtres copias adverſus Græcos cogere.

7. Qua de re quum Lacedæmonii ac ſocii deliberarent, pollicitus eſt Ageſilaus, ſe, ſi quinquaginta Spartanos ſibi concederent, cum ter mille libertinis, & ſex millium

agmine

δὲ τὸ σύνταγμα τῶν συμμάχων, διαβήσεσθαι εἰς τὴν Ασίαν, καὶ πειράσεσθαι εἰρήνην ποιῆσαι, ἢ, ἂν πολεμεῖν βούληται ὁ βάρβαρος, ἀσχολίαν αὐτῷ παρέξειν τοῦ στρατεύειν ἐπὶ τοὺς Ελληνας.

η'. Ευθὺς μὲν οὖν πολλοὶ πάνυ ἠγάσθησαν, αὐτὸ τοῦτο τὸ ἐπιθυμῆσαι, ἐπειδὴ ὁ Πέρσης πρόσθεν ἐπὶ τὴν Ελλάδα διέβη, ἀντιδιαβῆναι ἐπ' αὐτόν· τό τε αἱρεῖσθαι ἐπιόντα μᾶλλον, ἢ ὑπομένοντα, μάχεσθαι αὐτῷ· καὶ τὸ τἀκείνου δαπανῶντα βούλεσθαι μᾶλλον, ἢ τὰ τῶν Ελλήνων πολεμεῖν. κάλλιστον δὲ πάντων ἐκρίνετο, μὴ περὶ τῆς Ελλάδος, ἀλλὰ περὶ τῆς Ασίας τὸν ἀγῶνα καθιστάναι.

θ'. Επεί γε μὴν λαβὼν τὸ στράτευμα ἐξέπλευσε, πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν, ὡς ἐστρατήγησεν, ἢ εἰ αὐτὰ διηγήσαιτο ἃ ἔπραξεν; ἐν τοίνυν τῇ Ασίᾳ ἥδε πρώτη πρᾶξις ἐγένετο.

ι'. Τισσαφέρνης μὲν ὤμοσεν Αγησιλάῳ, εἰ σπείσαιτο, ἕως ἔλθοιεν οὓς *πέμψοιεν πρὸς βασιλέα ἀγγέλους,

δια-

agmine de ſociis coacto, trajecturum in Aſiam, operamque daturum, ut vel pacem faceret, vel ſi quidem bellum gerere barbarus mallet, nullum ei præberet otium ad ducendum contra Græcos exercitum.

8. Confeſtim permulti vehementer illum admirabantur, quod hoc ipſum concupiſceret; quod quum rex Perſicus ante id temporis in Græciam trajeciſſet, ipſe adverſus illum vice verſa trajicere vellet, potiuſque putaret invadendo, quam ſuſtinendo, cum illo pugnandum, malletque facultates ejus, quam Græcorum, bello abſumendas. Longe autem pulcerrimū eſſe judicabatur, quod non de Græcia, ſed de Aſia certamen inſtitueret.

9. Poſteaquam acceptis copiis enavigaſſet, quinam clarius demonſtrari poſſit, quo pacto ſe in imperatorio munere geſſerit, quam ſi ea commemorentur, quæ ſunt ab eo geſta? Primum igitur in Aſia facinus ejus hoc fuit.

10. Juraverat Agesilao Tiſſaphernes, ſi ſecum inducias pangeret, donec nuntii, quos ad regem mitteret,

διαπράξεσθαι αὐτῷ ἀφεθῆναι αὐτονόμους τὰς ἐν τῇ Ασίᾳ πόλεις Ελληνίδας. Αγησίλαος δὲ ἀντώμοσε, σπονδὰς ἄξειν ἀδόλως, ὁρισάμενος τῆς πράξεως τρεῖς μῆνας.

ια'. Ο μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν εὐθὺς ἐψεύσατο. ἀντὶ γὰρ τοῦ εἰρήνην πράσσειν, στράτευμα πολὺ παρὰ βασιλέως πρὸς ᾧ πρόσθεν εἶχε, μετεπέμπετο. Αγησίλαος δὲ καίπερ αἰσθόμενος ταῦτα, ὅμως ἐνέμεινε ταῖς σπονδαῖς.

ιβ'. Εμοὶ οὖν τοῦτο πρῶτον καλὸν δοκεῖ διαπράξασθαι, ὅτι Τισσαφέρνην μὲν ἐμφανίσας ἐπίορκον ἄπιστον πᾶσιν ἐποίησεν· ἑαυτὸν δ' ἀντεπιδείξας πρῶτον μὲν ὅρκους ἐμπεδοῦντα, ἔπειτα συνθήκας μὴ ψευδόμενον, πάντας ἐποίησε καὶ Ελληνας καὶ βαρβάρους θαρροῦντας συντίθεσθαι ἑαυτῷ, εἴ τι βούλοιτο.

ιγ'. Επεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι, προεῖπεν Αγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ασίας, οἱ μὲν ἄλλοι σύμμαχοι καὶ Λακεδαιμονίων

οἱ

ret, reverſi eſſent, impetraturum ſe ipſi, ut oppida Græci nominis in Aſia ſui juris eſſe permitterentur. Ageſilaus ab altera parte juraverat, ſervaturum ſe inducias ſine fraude, tribus menſibus ad rem conficiendam definitis.

11. Verum Tiſſaphernes quæ jurarat mox ementitus eſt. Nam pro facienda pace, ingentem præter eum quem prius habuit exercitum à rege arceſſebat. Hæc tametſi animadverteret Ageſilaus, nihilominus in induciis perſtitit.

12. Quamobrem mihi primum hoc feciſſe præclare videtur, quod dum Tiſſaphernem perjurum eſſe declararet, ſuſpectam ejus apud omnes fidem reddiderit: contra dum ſe primo jusjurandum conſtanter ſervare demonſtraret, deinde fœdera minime violare; perfecit ut omnes tam Græci quam barbari, fidentibus animis cum eo fœdus inirent, ſiquod ei viſum eſt [inire].

13. Ubi vero Tiſſaphernes plurimum elatus ob deductum exercitum, bellum Ageſilao denunciaſſet, ni Aſia excederet; cum cæteri quidem ſocii, tum Lacedæmonii

qui

οἱ παρόντες, μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες μείονα τὴν παροῦσαν δύναμιν Αγησιλάῳ τῆς βασιλέως παρασκευῆς εἶναι. Αγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι τῷ Τισσαφέρνῃ τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δὲ Ελλησι συμμάχους ἐποίησεν.

ιδʹ. Εκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν· ταῖς δὲ πόλεσιν εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ιωσι, καὶ Αιολεῦσι, καὶ Ελλησποντίοις, πέμπειν πρὸς αὐτὸν εἰς Εφεσον τοὺς συστρατευσομένους.

ιεʹ. Ο μὲν οὖν Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Αγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν ὁρμήσειν αὐτὸν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δὲ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιήγαγε, νομί-

ζων

qui aderant, vehementer manifeſteque angebantur, quod Ageſilaum putarent copias in præſentia habere apparatu regio minores. Ageſilaus autem hilari admodum vultu renuntiare legatos Tiſſapherni juſſit, habere ſe magnam ipſi gratiam, quod perjurio Deos ſibi quidem infeſtos reddidiſſet, Græcis vero belli ſocios.

14. Deinde militibus mox imperat, ad expeditionem uti ſe accingerent: oppidis autem, ad quæ ipſum in Cariam expeditionem facturum accedere neceſſe erat, ut commeatum ſibi pararent; denunciat. Etiam Ionibus, Æolenſibus, Helleſpontiis mandat, ut Epheſum ad ſe mitterent eos qui ſecum eſſent militaturi.

15. Tiſſaphernes, partim quod equitatu Ageſilaus non eſſet inſtructus, & Caria equitatui eſſet incommoda, partim quod eum ſuccenſere ſibi putaret ob fraudem, reipſa ſtatuens, eum in Cariam ipſius ſedem irrupturum, univerſum peditatum eo tranſportat, equitatum vero in Mæandri planitiem circumducit, quod exiſtimaret ſa-

tis

ζων ἱκανὸς εἴη καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι.

ιϛʹ. Ὁ δὲ Ἀγησίλαος, ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι, εὐθὺς ἀντιστρέψας ἐπὶ Φρυγίαν ἐπορεύετο. καὶ τάς τε ἐν τῇ πορείᾳ ἀπαντώσας δυνάμεις ἀναλαμβάνων ἦγε, καὶ τὰς πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἔλαβε.

ιζʹ. Στρατηγικὸν οὖν καὶ τοῦτο ἐδόκει διαπράξασθαι, ὅτι, ἐπεὶ πόλεμος προεῤῥήθη, καὶ τὸ ἐξαπατᾷν ὅσιόν τε καὶ δίκαιον ἐξ ἐκείνου ἐγένετο, παῖδα ἀπέδειξε τὸν Τισσαφέρνην τῇ ἀπάτῃ, φρονίμως δὲ καὶ τοὺς φίλους ἐνταῦθα ἔδοξε πλουτίσαι.

ιηʹ. Ἐπεὶ γὰρ διὰ τὸ πολλὰ χρήματα εἰλῆφθαι, ἀντίπροικα τὰ πάντα ἐπωλεῖτο, τοῖς μὲν φίλοις προεῖπεν ὠνεῖσθαι, εἰπὼν, ὅτι καταβήσοιτο ἐπὶ θάλασσαν ἐν τάχει τὸ στράτευμα κατάγων· τοὺς δὲ λαφυροπώλας ἐκέλευσε γραφομένους ὁπόσου τι πρίαιντο, προΐεσθαι τὰ χρήματα· ὥστ᾽ οὐδὲν προτελέσαντες οἱ φίλοι αὐτοῦ,

tis ſibi eſſe virium ad proculcandos equitatus opera Græcos, priuſquam ad loca equitibus non idonea perveniſſent.

16. Ageſilaus autem, omiſſa in Cariam profectione, ſtatimque diverſam in partem ſe flectens, Phrygiam petebat: & occurrentes in itinere copias ſecum ſumens una ducebat, & occupabat oppida; quodque præter expectationem irruiſſet, magnam opum vim capiebat.

17. Atque hoc ipſius facinus dignum imperatore judicabatur: quod quum bellum eſſet denuntiatum, atque ex eo fraude uti fas & jus eſſet; non ſolum Tiſſaphernem puerum eſſe declaravit, ſed etiam viſus ſit amicos ſingulari prudentia collocupletare.

18. Nam quia, vili omnia pretio vendebantur, propterea quod magnæ opes captæ eſſent; præmonebat amicos ut emerent, ſe enim celeriter exercitum ad mare deducturum. Manubiarum vero venditoribus imperabat, ut quanti quid emerent, conſignarent, ſimulque res illis traderent: quo pacto ejus amici,

τοῦ, οὐδὲν τὸ δημόσιον βλάψαντες, πάντες παμπληθῆ χρήματα ἔλαβον.

ιθ'. Ἔτι δὲ ὁπότε αὐτόμολοι (ὡς εἰκὸς) πρὸς βασιλέα ἰόντες χρήματα ἐθέλοιεν ὑφηγεῖσθαι, καὶ ταῦτα ἐπεμέλετο ὡς διὰ τῶν φίλων *ἁλίσκοιεν, ὅπως ἅμα μὲν χρηματίζοιντο, ἅμα δὲ ἐνδοξότεροι γίγνοιντο. διὰ μὲν δὴ ταῦτα εὐθὺς πολλοὺς ἐραστὰς τῆς αὐτοῦ φιλίας ἐποιήσατο.

κ'. Γιγνώσκων δέ, ὅτι ἡ μὲν πορθουμένη καὶ ἐρημουμένη χώρα οὐκ ἂν δύναιτο πολὺν χρόνον στράτευμα φέρειν, ἡ δ' οἰκουμένη μέν, σπειρομένη δέ, ἀέναον ἂν τὴν τροφὴν παρέχοι, ἐπεμέλετο οὐ μόνον τοῦ βίᾳ χειροῦσθαι τοὺς ἐναντίους, ἀλλὰ καὶ τοῦ πρᾳότητι προσάγεσθαι.

κα'. Καὶ πολλάκις μὲν προηγόρευε τοῖς στρατιώταις τοὺς ἁλισκομένους μὴ ὡς ἀδίκους τιμωρεῖσθαι, ἀλλ' ὡς ἀνθρώπους ὄντας φυλάσσειν. πολλάκις δέ, ὁπότε μετεστρατοπεδεύετο, εἰ αἴσθοιτο καταλελειμμένα παιδάρια μικρὰ ἐμπόρων, ἃ πολλοὶ ἐπώλουν, διὰ τὸ νομί-

ζειν,

ei, nihil quicquam prius perſolventes, abſque detrimento publicæ rei, facultates ingentes univerſi conſequerentur.

19. Præterea quoties transfugæ, ita ut fit, ad regem tranſeuntes, viam ad opes intervertendas commonſtrare volebant; operam dabat ut opes eæ per amicos caperentur, quo illi ſimul & ditarentur, & majore in hominum eſſent opinione. Has ob cauſas ſtatim perficiebat, ut amicitiam ipſius multi expeterent.

20. Quum autem intelligeret, regionem vaſtatam & ad ſolitudinem redactam, non poſſe diu militum copias ſuſtinere, quum cultus ager, & qui ſeritur, victum perennem ſuppeditet: curam adhibebat, ut non vi tantum adverſarios ſubigeret, ſed etiam lenitate ſuas ad partes traduceret.

21. Militibus quoque ſæpenumero denuntiabat ut captivos non tanquam reos injuriarum plecterent; ſed velut homines, ſervarent. Sæpe, quoties mutabat caſtra, ſi animadverteret parvos à mercatoribus relictos eſſe pueros, quos ſane

multi

ζειν, μὴ δύνασθαι ἂν φέρειν αὐτὰ καὶ τρέφειν, ἐπεμέλετο καὶ τούτων, ὅπως συγκομίζοιντό ποι.

κβ΄. Τοῖς δ' αὖ διὰ γῆρας καταλειπομένοις αἰχμαλώτοις προσέταττεν ἐπιμελεῖσθαι αὐτῶν, ὡς μήτε ὑπὸ κυνῶν μήθ' ὑπὸ λύκων διαφθείροιντο. ὥστε οὐ μόνον οἱ πυνθανόμενοι ταῦτα, ἀλλὰ καὶ αὐτοὶ οἱ ἁλισκόμενοι εὐμενεῖς αὐτῷ ἐγίγνοντο. ὁπόσας δὲ πόλεις προσαγάγοιτο, ἀφαιρῶν αὐτῶν ὅσα δοῦλοι δεσπόταις ὑπηρετοῦσι, προσέταττεν ὅσα ἐλεύθεροι ἄρχουσι πείθονται. καὶ τῶν κατὰ κράτος ἀναλώτων * τειχέων τῇ φιλανθρωπίᾳ ὑπὸ χεῖρας ἐποιεῖτο.

κγ΄. Ἐπεὶ μέντοι ἀνὰ τὰ πεδία οὐδ' ἐν τῇ Φρυγίᾳ ἐδύνατο στρατεύεσθαι, διὰ τὴν Φαρναβάζου ἱππείαν, ἔδοξεν αὐτῷ ἱππικὸν κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι αὐτόν. τοὺς μὲν οὖν πλουσιωτάτους τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε.

κδ΄. Προεῖπε

multi vendebant, quod exiſtimarent eos ſe vehere ac nutrire non poſſe; curabat ut hi quoque ſimul aliquo deportarentur.

22. Si qui captivi ob ſenectutem relinquerentur, iniungebat ut eorum etiam haberetur cura, ne vel à canibus vel lupis [illegible]. Quo fiebat, ut non tantum illi qui hæc audiebant [illegible] vi, [illegible]. Quaſcunque [illegible] parte [illegible] [illegible] audientes eſſent, in quibus homines liberi magiſtratibus parent. Etiam oppida quædam nulla vi expugnabilia, ſuam in poteſtatem clementia redigebat.

23 Cæterum quod in locis campeſtribus [illegible] Phrygia [illegible] propter equitatum Pharnabazi, militare poſſet: viſum eſt ei, copias quaſdam equeſtres inſtituendas eſſe, ne inter fugiendum [illegible] cogeretur. Id[illegible] quoque iis [illegible] delegit, qui equos alere.

κδ'. Προεῖπε δὲ, ὅστις παρέχοι τὸ ἱππικὸν, καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὡς ἐξέσοιτο αὐτῷ μὴ στρατεύεσθαι. καὶ ἐποίησεν οὕτως ἕκαστον προθύμως μαστεύειν. ἔταξε δὲ καὶ πόλεις, ἐξ ὧν δέοι τοὺς ἱππέας παρασκευάζειν, νομίζων ἐκ τῶν ἱπποτρόφων πόλεων εὐθὺς καὶ φρονηματίαι μάλιστα ἂν ἐπὶ τῇ ἱππικῇ γενέσθαι. καὶ τοῦτ' οὖν ἀγαστῶς ἔδοξε πρᾶξαι, ὅτι κατεσκεύαστο τὸ ἱππικὸν αὐτῷ, καὶ εὐθὺς ἐρρωμένον ἦν καὶ ἐνεργόν.

κε'. Επειδὴ δὲ ἔαρ ὑπέφαινε, συνήγαγε πᾶν τὸ στράτευμα εἰς Εφεσον, ἀσκῆσαι καὶ αὐτὸ βουλόμενος· ἆθλά τε προὔθηκε καὶ ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἂν ἱππεύοι, καὶ ταῖς ὁπλιτικαῖς, ἥτις ἂν ἄριστα σωμάτων ἔχοι· καὶ πελτασταῖς δὲ, καὶ τοξόταις ἆθλα προὔθηκεν, οἵτινες κράτιστοι τὰ προσήκοντα ἔργα φαίνοιντο. ἐκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια μεστὰ τῶν ἀνδρῶν γυμναζομένων, τὸν δὲ ἱππόδρομον ἱππέων ἱππαζομένων, τοὺς δὲ ἀκοντιστὰς καὶ τοὺς τοξότας ἐπὶ στοίχων ἰόντας.

κϛ'. Αξίαν

24. Prædixit etiam futurum ut quicunque ſuppeditaret equum, arma, & ſpectata virtute virum, immunis eſſet à militia. Qua re fecit, ut hæc quiſque libenter ſibi conquireret. Conſtituit item, quibus ex urbibus equites parandi eſſent; quod exiſtimaret ex illis urbibus, quæ equorũ erant divites, mox etiã prodituros quoſdam in equeſtri re maxime animoſos. Quin & illud admiratione dignum feciſſe videtur, quod equitatum inſtituerit, qui & robore ſtatim, & rebus gerendis præſtabat.

25. Ineunte vere, copias univerſas Epheſum cogebat, ut eas exerceret. Proponebat autem turmis equeſtribus præmia, quæcunque ex iis equitandi artem optime teneret: itidemque pedeſtribus, quæcunque corporibus eſſet egregie exercitis: ſic & cetratis, & ſagittariis præmia proponebat, quicunque præclare ſuis functi muneribus eſſent. Secundum hæc tunc videre erat gymnaſia plena viris ſeſe exercentibus, hippodromum equitibus equos agentibus, jaculatores & ſagittarios per ſeries incedentes.

26. Sed

κϛ'. Ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν, θέας ἐποίησεν. ἥ τε γὰρ ἀγορὰ μεστὴ ἦν παντοδαπῶν καὶ ὅπλων καὶ ἵππων ὠνίων· οἵ τε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ σιδηρεῖς, καὶ σκυτεῖς, καὶ κναφεῖς, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον. ὥστε τὴν πόλιν ὄντως ἡγήσω πολέμου ἐργαστήριον εἶναι.

κζ'. Ἐπεῤῥώσθη δ' ἄν τις κἀκεῖνα ἰδὼν, Ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους τε, ὅπου ἀπὸ τῶν γυμνασίων ἴοιεν, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιεν, πολεμικὰ δὲ ἀσκοῖεν, πειθαρχίαν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι;

κη'. Ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβαλεῖν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι, τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν, διὰ τὸ μηδέποτε ἐκδύεσθαι, πίονας δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ

ἐπ'

26. Sed & totam Epheſum, ubi tum degebat, ſpectatu dignam effecit. Nam forum omnis generis armis & equis venalibus plenum erat; & fabri ærarii, lignarii, ferrarii, ſutores, pictores, omnes adeo bellica parabant arma, ut revera putaſſes, urbem belli officinam eſſe.

27. Confirmabat hoc quoque animum alicujus, quod primum ipſum Ageſilaum, deinde milites cæteros ſertis redimitos è gymnaſiis diſcedere videret, ipſaſque corollas Dianæ ſuſpendere: Nam ubi homines religioſe Deos venerantur, & bellicis in rebus exercentur, & debitum præſtare obſequium curant, qui non iſtic conſentaneum ſit, optima ſpe cuncta plena eſſe?

28. Quum item exiſtimaret, contemtum hoſtium, robur quoddam in animis ad pugnandum excitare: præconibus edixit, ut capti à prædonibus barbari, nudi venderentur. Itaque milites, qui albos quidem eos eſſe cernerent, quod ſe nunquam exuere ſolerent; ſed pingues, nulliſque laboribus exercitos,

citos,

ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν μηδὲν διαφέρειν τὸν πόλεμον ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι. προεῖπε δὲ καὶ τοῦτο τοῖς στρατιώταις, ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν * αὐτοὶ τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο, ὡς ἀγωνιούμενοι.

κθ'. Ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν, πάλιν βουλόμενον ἐξαπατῆσαι, εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν. τό, τε οὖν πεζὸν, καθάπερ τὸ πρόσθεν, εἰς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. ὁ δὲ Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ' ὥσπερ προεῖπεν, * εὐθὺς τὸν Σαρδιανὸν τόπον ἐχώρησε. καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρεῖχε· τῇ δὲ τετάρτῃ ἡμέρᾳ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς.

λ'. Καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπεν ὁ ἡγεμὼν, διαβάντι τὸν Πακτωλὸν στρατοπεδεύεσθαι· αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους

citos, quod vehiculis ſemper uterentur: bellum hoc non aliud fore putabant, atque ſi prælio cum fœminis decernendum eſſet. Prædixit etiam militibus, mox ſe ducturum ad opulentiſſimam regionis partem, via maxime compendiaria: ut ſic hoc ipſo tum corpora tum animi ad pugnam præpararentur.

29. Enimvero Tiſſaphernes hæc Ageſilaum dicere putabat, qui rurſum dolo ſe circumvenire vellet: quum tamen reapſe jam impetum in Cariam facturus eſſet. Itaque peditatum, uti prius quoque factum erat, in Cariam traducit; equitatu in Mæandri planitie ſubſiſtere juſſo. At vero Ageſilaus, quod prædixerat, præſtitit; ac recta Sardianam in regionem progreſſus eſt. Quumque triduum hoſte nullo conſpecto progrederetur, magnam rerum neceſſariarum copiam exercitui ſuppeditabat. Die quarto equites hoſtium aderant.

30. Eorum dux impedimentorum præfecto mandat, ut amne Pactolo trajecto, caſtra metaretur. Ipſi vero conſpicati, eos qui Græcorum

θοις * ἐπηρμένους καθ' ἁρπαγήν, πολλοὺς αὐτῶν ἀποκτεῖναι. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο παμπλήθεσι τῶν ἱππέων τάξεσιν.

λα'. Ἔνθα δὴ ὁ Ἀγησίλαος γινώσκων, ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζόν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο. σφαγιασάμενος οὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς ἀντιτεταγμένους ἱππέας, ἐκ δὲ τῶν ὁπλιτῶν ἐκέλευσε *τινὰς ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς, τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβαλεῖν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου.

λβ'. Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ ἀγαθοὶ τῶν Περσῶν. ἐπειδὴ δὲ ἅμα *δεινὰ παρῆν ἐπ' αὐτούς, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον,

eorum agmen ſequebantur, hinc inde palatos prædam agere; complures ex eis trucidant. Id animadvertens Ageſilaus, equites ſuis opem ferre jubet. Perſæ quum viderent, copias his auxiliares ſummitti; colligunt ſeſe, ac univerſas equeſtres turmas in aciem explicatas Græcis opponunt.

31. Ibi vero Ageſilaus ſecum ipſe cogitans, necdum hoſtibus peditatum adeſſe, ſibi vero nihil eorum quæ ad bellum paraverat, deeſſe: opportune ſe pugnam commiſſurum arbitrabatur, ſi poſſet. Itaque cæſis victimis recta phalangem adverſus inſtructos equites ducebat; mandans, ut ex peditibus armaturæ gravis, qui pubertatem exceſſerant, ſecum in hoſtem curſu ferrentur, & juſſis itidem cetratis curſu ſubſequi; equitatui quoque denuntiat, ut impetum faceret; ſe, cum copiis univerſis, ſubſequuturum pollicitus.

32. Exceperunt impreſſionem equitum Perſæ, quotquot erant viri fortes. At ubi ſimul imminere omnia terribilia vident, acie inclinata, partim recta in flumen decidunt,

σιν, οἱ δ' ἄλλοι ἔφευγον. οἱ δ' Ἕλληνες ἑπόμενοι αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταὶ, ὥσπερ εἰκὸς, ἐφ' ἁρπαγὴν ἐτρέποντο· ὁ δ' Ἀγησίλαος ἔχων κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια, περιεστρατοπεδεύσατο.

λγ'. Ὡς δ' ἤκουσε τοὺς πολεμίους ταράττεσθαι, διὰ τὸ αἰτιᾶσθαι ἀλλήλους τοῦ γεγενημένου, εὐθὺς ἦγεν ἐπὶ Σάρδεις. κἀκεῖ ἅμα μὲν ἔκαιε καὶ ἐπόρθει τὰ περὶ τὸ ἄστυ, ἅμα δὲ καὶ κήρυγμά τι ἐδήλου, τοὺς μὲν ἐλευθερίας δεομένους ὡς πρὸς σύμμαχον αὐτὸν παρεῖναι· εἰ δέ τινες τὴν Ἀσίαν ἑαυτῶν ποιοῦνται, πρὸς τὸ ἐλευθεροῦν τοὺς διακρινομένοις, ἐν ὅπλοις παρεῖναι.

λδ'. Ἐπεὶ μέντοι οὐδεὶς ἀντεξήει, ἀδεῶς δὴ τὸ ἀπὸ τούτου ἐστρατεύετο, τοὺς μὲν πρόσθεν προσκυνεῖν Ἕλληνας ἀναγκαζομένους ὁρῶν τιμωμένους ὑφ' ὧν ὑβρίζοντο, τοὺς δ' ἀξιοῦντας καὶ τὰς τῶν θεῶν τιμὰς καρποῦσθαι, τούτους ποιήσας μηδ' ἀντιβλέπειν τοῖς Ἕλλησι δύνασθαι, καὶ τὴν μὲν τῶν φίλων χώραν ἀδήωτον

dunt, partim fuga ſibi conſulunt. Eos ſubſequuti Græci, etiam caſtris hoſtium potiuntur. Tum vero cetrati, ut fit, ad prædas ſe convertunt. Ageſilaus undique omnes tum hoſtium, tum ſuorum res, caſtris poſitis complectitur.

33. Quumque perturbari hoſtes audiſſet, quod alter in alterum rei male geſtæ culpam conferret; confeſtim Sardes exercitum ducit. Ibi ſimul ferro ac flamma quæ circum urbem erant, vaſtabat, & proclamationem quandam edebat, ut quicunque liberi eſſe vellent, ad ſe tanquam opitulatorem accederent. Sin aliqui Aſiam ſibi vindicarent, ad liberandum eos, de quibus diſceptaretur, armati adeſſent.

34. Poſteaquam nemo adverſus eum prodiret, libere metu poſito deinceps bellum gerebat; quum quidem videret Græcos, qui prius ſummiſſe venerati Perſas cogerentur, ab iis ipſis honore adfici, à quibus petulanter tractati fuerant: quum illos, qui antehac divinis frui voluiſſent honoribus, eo redegiſſet, ut ne quidem aſpicere Græcos poſſent: quum denique effeciſſet, ut amicorum

τοι περιέχειν, τὴν δὲ τῶν πολεμίων οὕτω καρπούμενος, ὥστε ἐν δυοῖν ἐτοῖν πλέον τῶν ἑκατὸν ταλάντων τῷ θεῷ ἐν Δελφοῖς δεκάτην ἀποθῦσαι.

λε΄. Ο μέντοι Περσῶν βασιλεὺς, νομίσας Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ ἑαυτοῦ, Τιθραύστην καταπέμψας, ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν. μετὰ δὲ τοῦτο τὰ μὲν τῶν βαρβάρων ἔτι ἀθυμότερα ἐγένετο, τὰ δὲ Αγησιλάου πολὺ ἐρρωμενέστερα. ἀπὸ πάντων γὰρ τῶν ἐθνῶν ἐπρεσβεύοντο περὶ φιλίας, πολλοὶ δὲ καὶ ἀφίσταντο πρὸς αὐτὸν, ὀρεγόμενοι τῆς ἐλευθερίας· ὥστε οὐκέτι Ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων πολλῶν ἡγεμὼν ἦν Αγησίλαος.

λϛ΄. Αξιόν γε μὴν καὶ ἐντεῦθεν ὑπερβαλλόντως ἀγασθῆναι αὐτοῦ, ὅστις ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων δὲ καὶ νήσων, ἐπεὶ καὶ τὸ ναυτικὸν προσῆψεν αὐτῷ ἡ πόλις, αὐξανόμενος καὶ εὐκλείᾳ καὶ δυνάμει, παρὸν δὲ αὐτῷ πολλοῖς καὶ ἀγαθοῖς χρῆσθαι ὅ, τι ἐβούλετο, πρὸς δὲ τούτοις τὸ

micorum ager minime vaſtaretur; dum ipſe de hoſtili fructus tantos percepit, ut intra biennium plus quam Delphico Deo conſecraret, centum talentis ampliorem.

35. Ceterum Perſarum rex arbitratus Tiſſaphernem in culpa eſſe, quamobrem res ſuæ male procederent: miſſo Tithrauſte, caput ei præcidi juſſit. Secundum ea barbari magis abjectis eſſe animis, Agesilai rebus multum roboris accedere. Nam legati ad amicitiam ineundam a nationibus mittebantur: & plerique ad eum deficiebant, libertatis deſiderio ducti. Quare jam non Græcorum modo, ſed multorum etiam barbarorum dux erat Ageſilaus.

36. Æquum eſt etiam, ex hoc ſumma hominem admiratione proſequi; quod quum imperium teneret complurium in continente civitatum, atque etiam inſularum, poſtquam ei claſſem quoque patria tradidit, jam ſuccreſcens ſimul celebritate ac potentia, multaſque poteſtatem utendi rebus commodis, & quod maximum erat, jam volvens animo ſpeque concipiens everſo-

τὸ μέγιστον, ἐπιποθῶν καὶ ἐλπίζων καταλύσειν τὴν ἐπὶ τὴν Ἑλλάδα στρατεύσασαν πρότερον ἀρχήν, ὅμως [illegible] τύπον [illegible]· ἀλλ' ἐπεὶ ἦλθεν αὐτῷ ἀπὸ τῶν οἴκοι * τελῶν . . . . . . βοηθεῖν τῇ πατρίδι, ἐπείθετο τῇ πόλει, οὐδὲν διαφερόντως ἢ εἰ ἐν τῷ * φορῷ ἔτυχεν ἑστηκὼς μόνος παρὰ τοὺς πέντε· μάλα ἔνδηλον ποιῶν, ὡς οὔτε ἂν πᾶσαν τὴν γῆν δέξαιτο ἀντὶ πατρίδος, οὔτε τοὺς ἐπικτήτους ἀντὶ τῶν ἀρχαίων φίλων, οὔτε αἰσχρὰ καὶ ἀκίνδυνα κέρδη μᾶλλον, ἢ μετὰ κινδύνων τὰ καλὰ καὶ δίκαια.

λζ'. Ὅσον γε μὴν χρόνον ἐπὶ τῆς ἀρχῆς ἔμεινε, πῶς οὐκ ἀξιεπαίνου βασιλέως καὶ τοῦτ' ἔργον ἀπεδείξατο, ὅστις παραλαβὼν πάσας πόλεις, ἐφ' ἃς ἄρχων ἐξέπλευσε, στασιαζούσας, διὰ τὸ τὰς πολιτείας κινηθῆναι, ἐπεὶ οἱ Ἀθηναῖοι τῆς ἀρχῆς ἔληξαν, ἐποίησεν, ὥστ' ἄνευ φυγῆς καὶ θανάτων, ἕως αὐτὸς παρῆν, ὁμονόως πολιτευομένας καὶ εὐδαίμονας τὰς πόλεις διατελέσαι;

λη'. Τοιγαροῦν οἱ ἐν τῇ Ἀσίᾳ Ἕλληνες οὐχ ὡς ἄρχοντος μόνου,

eversionem ejus imperii, quod prius Graeciam armis invaserat: nihilominus ab iis rerum [illegible] vinci se passus sit, [illegible] venisset ad eum quidam magistratibus, qui tum optimi patriae praeset; paruit patriae reipublicae, ac si tunc forte solus in Ephoreum curia propter Quinqueviros constitisset. Qua quidem re manifestius declaravit, non se [illegible] universum patriae, nec post acquisitos amicis veteribus, nec turpia lucra, nullo cum periculo conjuncta, honestis ac justis, quae periculum habeant, anteferre.

37. Qui non etiam hoc regis laude dignissimum sit, quod imperii sui tempore, quum civitates omnes, ad quas imperans domo navigaverat, seditionibus difficili laborarent [illegible], (quoniam essent mutatae respublicae, postquam abolitum Atheniensibus imperium fuerat), perfecerit, ut absque exiliis & caedibus, quamdiu quidem diu aderat ipse, magna cum animorum concordia semper administrarentur, & felices essent?

38. [illegible] Graeci quotquot incolunt Asiam, [illegible] ex

Asia

μόνον, ἀλλὰ ϗ ὡς πατρὸς, ϗ ἑταίρου ἀπιόντος αὐτοῦ ἐλυποῦντο. ϗ τέλος ἐδήλωσαν, ὅτι οὐ πλαστὴν τὴν φιλίαν παρεῖχοντο. ἐθελούσιοι γοῦν αὐτῷ συνεβοήθησαν τῇ Λακεδαίμονι, ϗ ταῦτα, εἰδότες, ὅτι οὐ χείροσιν ἑαυτῶν δεήσοι μάχεσθαι. τῶν μὲν δὴ ἐν τῇ Ἀσίᾳ πράξεων τοῦτο τέλος ἐγένετο.

ΚΕΦ. β'.

Διαβὰς δὲ τὸν Ελλήσποντον, ἐπορεύετο διὰ τῶν αὐτῶν ἐθνῶν, ὧνπερ ὁ Πέρσης τῷ παμπληθεῖ στόλῳ. ϗ τὴν ἐνιαυσίαν ὁδὸν ὁ βάρβαρος ἐποιήσατο, ταύτην μεῖον ἢ ἐν μηνὶ κατήνυσεν ὁ Αγησίλαος. οὐ γὰρ ὡς ὑστερήσειε τῆς πατρίδος ἐπεθυμεῖτο.

β'. Επεὶ δὲ ἐξαμείψας Μακεδονίαν, εἰς Θετταλίαν ἀφίκετο, Λαρισσαῖοι μὲν, ϗ Κρανώνιοι, ϗ Σκοτουσαῖοι, ϗ Φαρσάλιοι σύμμαχοι ὄντες Βοιωτοῖς, ϗ πάντες δὲ Θετταλοὶ, πλὴν ὅσοι αὐτῶν φυγάδες τότε ὄντες ἐτύγχανον, ἐκακούργουν οὗτοι ἐφεπόμενοι.

Aſia diſceſſum, ceu principis tantum, ſed etiam ut patris, ac ſodalis dolebant, & tandem declarabant, non ei ſe fictitiam benevolentiam exhibere. Nam ſponte cum eo profecti ſunt ad ferendum ſuppetias Lacedæmoni, quum quidem ſcirent, ſibi non adverſus deteriores ſe pugnandum eſſe. Atque hic rerum in Aſia geſtarum finis fuit.

CAP. II.

CÆterum Helleſponto trajecto, per eaſdem nationes iter faciebat, per quas Perſarum rex illo ingenti cum exercitu: & quæ via confecta totius anni ſpatio fuerat à rege barbaro, eam minori quoque quam menſis ſpatio, Ageſilaus confecit. Non enim hoc propoſitum ejus erat animo, ut ſerius patriæ ſuccurreret.

2. Poſteaquam Macedonia peragrata, Theſſaliam ingreſſus eſt; Lariſſæi, Cranonii, Scotuſæi, Pharſalii, Bœotorum ſocii, omneſque adeo Theſſali, exceptis qui tunc in exilio degerent, à tergo ſequentes eum infeſtabant.

μένοι. ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δὲ ἐπ' οὐρὰν ἔχων τῶν ἱππέων· ἐπεὶ δ' ἐκώλυον τῆς πορείας αὐτὸν οἱ Θετταλοὶ ἐπιτιθέμενοι τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ προηγουμένου στρατεύματος, καὶ τὸ περὶ αὐτόν.

γʹ. Ὡς δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, τρέψαντες, βάδην ἀπεχώρουν· οἱ δὲ μάλ' ἀφρόνως ἐφείποντο. γνοὺς δὲ ὁ Ἀγησίλαος ἃ ἑκάτεροι ἡμάρτανον, παραπέμπει τοὺς ἀμφ' αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν, καὶ αὐτοὺς διώκειν κατὰ κράτος, καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν. οἱ δὲ Θετταλοὶ ὡς εἶδον παρὰ δόξαν ἐλαύνοντας· οἱ μὲν αὐτῶν οὐδ' ἀνέστρεψαν, οἱ δὲ καὶ ἀναστρέφειν πειρώμενοι, πλαγίους ἔχοντες ★ τοὺς ἵππους ἡλίσκοντο.

δʹ. Πολύ-

Ducebat antehac Ageſilaus copias quadrato agmine, quum partem equitum dimidiam à fronte, dimidiam à tergo haberet. Verum poſteaquam Theſſali extremos adorti, quo minus in itinere pergeret, prohibebant: partem eorum qui primo erant in agmine, partem ſatellitum ſuorum ad agmen ultimum mittit.

3. Quumque acies eſſent utrinque inſtructæ, Theſſali non ſatis commode ſe prælio equeſtri congreſſuros cum gravis armaturæ peditibus arbitrati; terga dabant, ac pedetentim diſcedebant, illis imprudenter admodum eos perſequentibus. Ageſilaus, erratis utrorumque animadverſis, equites, quos ſecum habebat, robuſtos admodum mittit; utque tum ipſi hoſtem ſummo perſequerentur impetu, nec convertendi ſe poteſtatem ei facerent, tum aliis idem denuntiarent, mandat. Eos quum Theſſali præter opinionem equos adigere viderent, hi quidem ſe non convertebant, illi vero id facere conati ab equitibus, quos tranſverſos habebant, intercipiebantur.

4. Con-

δ'. Πολύχαρμος μέντοι ὁ Φαρσάλιος ἱππαρχῶν ἀνέστρεψέ τε, καὶ μαχόμενος σὺν τοῖς ἀμφ' αὐτὸν ἀποθνήσκει. ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ γίνεται ἐξαισία. ὥστε οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ζῶντες ἡλίσκοντο. ἔστησαν δ' οὖν οὐ πρόσθεν, * πρὶν ἢ ἐπὶ τῷ ὄρει τῶν Ανθρακέων ἐγένοντο.

ε'. Καὶ τότε μὲν δὴ ὁ Αγησίλαος τρόπαιόν τε ἐστήσατο μεταξὺ Πραντὸς καὶ * Ναρθακίου· καὶ αὐτοῦ κατέμεινε, μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐφ' ἱππικῇ ἐνενικήκει σὺν ᾧ αὐτὸς ἐμηχανήσατο ἱππικῷ. τῇ δὲ ὑστεραίᾳ ὑπερβάλλων τὰ Αχαϊκὰ τῆς Φθίας ὄρη, τὴν λοιπὴν ἤδη πᾶσαν διὰ φιλίας ἐπορεύθη εἰς τὰ τῶν Βοιωτῶν ὅρια.

ς'. Ενταῦθα δὴ ἀντιτεταγμένους εὑρὼν Θηβαίους,* Αθηναίους, Κορινθίους, Αινιᾶνας, Ευβοέας, καὶ Λοκροὺς ἀμφοτέρους, οὐδὲν ἐμέλλησεν, ἀλλ' ἐκ τοῦ φανεροῦ ἀντιπαρετάττετο, Λακεδαιμονίων μὲν ἔχων μόραν καὶ ἥμισυ, τῶν δ' αὐτόθεν συμμάχων Φωκέας καὶ Ορχομενίους μόνους, τό τ' ἄλλο στράτευμα, ὅπερ ἠγάγετο αὐτός.

ζ'. Καὶ

4. Convertit inter alios ſeſe Polycharmus Pharſalius, equitum magiſter, & una cum ſuis dimicans interfectus eſt. Quod ubi accidiſſet, ingens fuga facta fuit, ita ut alii occiderentur, alii vivi caperentur. Neque prius ſubſtitere, quam ad montem Narthacienſium perveniſſent.

5. Statuit tunc Ageſilaus tropæum inter Prantem ac Narthacium, & manſit ibi, mirifice delectatus hoc facinore; quod eos, qui ſe plurimum ob rem equeſtrem efferunt, viciſſet eo cum equitatu quem ipſemet inſtituiſſet. Poſtridie Achaicis Phthiæ montibus ſuperatis, deinceps per regionem pacatã profectus eſt ad Bœotorum uſque fines.

6. Ibi quum in acie ſtantes adverſus ſe reperiſſet Thebanos, Athenienſes, Corinthios, Ænianes, Eubœnſes, Locros utroſque; nihil cunctatus, aperte ſtruebat aciem, quum cohortem ſecum Lacedæmoniorum unam cum ſemiſſe haberet, & ex ſociis, qui habitant iis in locis, ſolos Phocenſes & Orchomenios, cum reliquis copiis, quas ipſe ducebat.

7. Nec

ζ'. Καὶ οὐ τοῦτο λέξων ἔρχομαι, ὡς πολὺ μὲν ἐλάττους, πολὺ δὲ χείρονας ἔχων, ὅμως συνέβαλλεν· (εἰ γὰρ ταῦτα λέγοιμι, Ἀγησίλαόν τ' ἂν μοι δοκῶ ἄφρονα ἀποφαίνειν, καὶ ἐμαυτὸν μωρὸν, εἰ ἐπαινοίην τὸν περὶ τῶν μεγίστων εἰκῆ κινδυνεύοντα) ἀλλὰ μᾶλλον τάδ' αὐτοῦ ἄγαμαι, ὅτι πλῆθός τε οὐδὲν μεῖον, ἢ τὸ τῶν πολεμίων παρεσκευάσατο, ὥπλισέ τε οὕτως, ὡς ἄπαντα μὲν χαλκὸν, ἄπαντα δὲ φοίνικα φαίνεσθαι.

η'. Επεμελήθη δὲ, ὅπως οἱ στρατιῶται τοὺς πόνους δυνήσαιντο ὑποφέρειν. ἐνέπλησε δὲ καὶ φρονήματος τὰς ψυχὰς αὐτῶν, ὡς ἱκανοὶ εἶεν πρὸς οὕστινας δέοι μάχεσθαι. ἔτι δὲ φιλονεικίαν ἐνέβαλε πρὸς ἀλλήλους τοῖς μετ' αὐτοῦ, ὅπως ἕκαστοι αὐτῶν ἄριστοι φαίνοιντο ἐλπίδων γε μὴν πάντας ἐνέπλησεν, ὡς πᾶσι πολλὰ κἀγαθὰ ἔσοιτο, εἰ ἄνδρες ἀγαθοὶ γίγνοιντο· νομίζων ἐκ τῶν τοιούτων ἀνθρώπων προθυμότατα τοῖς πολεμίοις μάχεσθαι· καὶ μέντοι οὐκ ἐψεύσθη.

θ'. Διηγήσομαι δὲ καὶ τὴν μάχην· καὶ γὰρ ἐγένε-

το

7. Nec jam hoc dicturus ſum, quod quum multo pauciores & imbecilliores haberet, nihilominus conflixerit; (quandoquidem id ſi dicam, videar, Ageſilaum amentem, ac me ſtultum pronuntiare, qui hominem temere periclitantem de ſumma rerum, laudem) ſed hoc apud me potius in admirationem venit, quod copias non minores hoſtilibus comparaverit, & ſic armis inſtruxerit, ut omnia merum æs, omnia eſſe mera purpura viderentur.

8. Dederat itidem operam, ut milites poſſent labores perferre; animoſque ipſorum ea compleverat ferocia, ut ad pugnandum adverſus quoſvis ſatis eſſent idonei. Præterea contentionem mutuam inter ſuos excitarat, ut ſinguli ſe præſtantiſſimos declararent. Spe denique repleverat omnes, ut univerſi multa bona adipiſcerentur, ſi viros ſe fortes gererent. Exiſtimabat enim, viros ejuſmodi promtiſſime in hoſtem dimicaturos. Quæ ſane ipſum opinio minime fefellit.

9. Pugnam quoq; narrabo, quod ejuſmodi

το οἷα τῶν οὐκ ἄλλη τῶν ἐφ' ἡμῶν. συνῄεσαν μὲν γὰρ εἰς τὸ κατὰ Κορώνειαν πεδίον, οἱ μὲν σὺν Αγησιλάῳ, ἀπὸ τοῦ Κηφισοῦ, οἱ δὲ σὺν τοῖς Θηβαίοις, ἀπὸ τοῦ Ελικῶνος. ἑώρων δὲ τάς τε φάλαγγας ἀλλήλων μάλα * ἰσομάλοις· σχεδὸν δὲ καὶ οἱ ἱππεῖς ἦσαν ἑκατέρων ἰσοπληθεῖς. εἶχε δὲ ὁ Αγησίλαος μὲν τὸ δεξιὸν τοῦ μεθ' ἑαυτοῦ, Ορχομένιοι δὲ ἔσχατοι ἦσαν αὐτῷ τοῦ εὐωνύμου. οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Αργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον εἶχον.

ι'. Συνιόντων δὲ, τέως μὲν σιγὴ πολλὴ ἦν ἀπ' ἀμφοτέρων. ἡνίκα δὲ ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων, ἀντεξέδραμον ἀπὸ τῆς Αγησιλάου φάλαγγος, ὧν Ηριππίδας ἐξενάγει.

ια'. Ησαν δ' αὐτοὶ τῶν τε ἐξ οἴκου αὐτῷ συστρατευσαμένων, καὶ τῶν * Κυρείων τινὲς, καὶ Ιωνες δὲ, καὶ Αιολεῖς, καὶ Ελλησπόντιοι ἐχόμενοι, καὶ πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο, καὶ εἰς δό-

ρυ

ejuſmodi fuerit, qualis alia noſtro quidem ævo nulla. Nam in campum ad Coroneam convenerunt, Ageſilai quidem exercitus à Cephiſſo; Thebani vero cum ſuis, ab Helicone. Et videbant phalanges ſuas admodum prælio committendo pares, propeque multitudo equitum utrimque par erat. Ageſilaus dextrum cornu apud ſuos tenebat, in lævo poſtremi erant Orchomenii. Contra, Thebani dextro ſuorum in cornu erant, in lævo Argivi.

10. Et hactenus dum congrederentur, utraque in parte magnum erat ſilentium. Quum vero à ſe invicem unius abeſſent ſtadii ſpatio, clamore Thebani ſublato, curſu in adverſos ferebantur. Ubi tria reſtarent inter utroſque plethra, de Ageſilai phalange adverſi ruebant, quos Herippidas ducebat.

11. Erant autem illi partim, quos domo ſecum in expeditionem duxerat; partim, qui Cyro militaverant, & Iones, & Æolenſes, & Helleſpontii, horum vicini. Hi omnes illorum erant in numero, qui una procurrebant; ac intra ictum ha-

ſtæ

ρου ἀφικόμενοι ἐτρέψαντο τὸ καθ᾽ ἑαυτούς. Αργεῖοι μὲν οὐκ ἐδέξαντο τοὺς ἀμφ᾽ Αγησίλαον, ἀλλ᾽ ἔφυγον ἐπὶ τὸν Ελικῶνα. κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν Αγησίλαον. ἀγγέλλει δέ τις αὐτῷ ὅτι Θηβαῖοι τοὺς Ορχομενίους διακόψαντες ἐν τοῖς σκευοφόροις * εἰσί. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ᾽ αὐτούς· οἱ δ᾽ αὖ Θηβαῖοι ὡς εἶδον τοὺς συμμάχους πρὸς τῷ Ελικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, ἐχώρουν ἐρρωμένως.

ιβʹ. Ενταῦθα δὴ Αγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφιλόγως, οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας, ἑπομένῳ χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ᾽ ἀντιμέτωπος συνέρραξε τοῖς Θηβαίοις. καὶ συμβάλλοντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. καὶ κραυγὴ μὲν οὐδεμία παρῆν, οὐ μὴν οὐδὲ σιγή· φωνὴ δέ τις ἦν τοιαύτη, οἵαν ὀργή τε καὶ μάχη παράσχοιτ᾽ ἄν. τέλος δὲ τῶν Θηβαίων οἱ μὲν

δια-

ſtæ quum veniſſent, hoſtes ſibi oppoſitos in fugam verterunt. Argivi quidem illorum impetum, qui apud Ageſilaum erant, haud ſuſtinuere; ſed ad Heliconem fuga ſe receperunt. Atque heic jam nonnulli hoſpites corona cingebant Ageſilaum, quum ei quidam nuntiat, Thebanos perruptis Orchomeniis ad impedimenta perveniſſe. Quapropter in eos evolutâ phalange ducebat. Thebani quum ſocios ſuos ad Heliconem fugiſſe viderent, magna vi pergebant, ut ad ſuos elaberentur.

12. Tum vero fortem virum fuiſſe Ageſilaum haud dubie dicere poſſumus, quanquam tutiſſima non eligeret. Nam quum dimiſſis illis, qui elabi conabantur, ſequi à tergo poſſet, & ultimos capere; non hoc fecit, ſed adverſa fronte cum Thebanis eſt congreſſus. Itaque collatis clypeis urgebantur, pugnabant, interficiebant, interficiebantur. Nullus quidem excitabatur clamor, non tamen erat ſilentium: ſed ejuſmodi quædam vox, qualis ex ira prælioque proficiſci poteſt. Tandem Thebanorum alii

ad

διαπίπτουσι πρὸς τὸν Ελικῶνα, πολλοὶ δ' ἀποχωροῦντες ἀπέθανον.

ιγ'. Επειδὴ δὲ ἡ μὲν νίκη σὺν Αγησιλάῳ ἐγένετο, τετρωμένος δ' αὐτὸς * προσηνέχθη πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων, λέγουσιν αὐτῷ ὅτι τῶν πολεμίων ὀγδοήκοντα σὺν τοῖς ὅπλοις ὑπὸ τῷ ναῷ εἰσι· καὶ ἠρώτων, τί χρὴ ποιεῖν. ὁ δὲ καίπερ πολλὰ τραύματα ἔχων πάντοσε καὶ παντοίοις ὅπλοις, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τε ἀπιέναι ὅποι βούλοιντο ἐκέλευε, καὶ ἀδικεῖν οὐκ εἴα, καὶ προπέμψαι ἐπέταξε τοὺς ἀμφ' αὐτὸν ἱππεῖς ἔς τε ἐν τῷ ἀσφαλεῖ ἐγένοντο.

ιδ'. Επεί γε μὴν ἔληξεν ἡ μάχη, παρῆν δὴ θεάσασθαι, ἔνθα συνέπεσον ἀλλήλοις, τὴν μὲν γῆν αἵματι πεφυρμένην, νεκροὺς δὲ κειμένους φιλίους καὶ πολεμίους μετ' ἀλλήλων, ἀσπίδας δὲ διατεθρυμμένας, δόρατα συντεθραυσμένα, ἐγχειρίδια γυμνὰ κουλεῶν, τὰ μὲν χαμαί, τὰ δ' ἐν σώμασι, τὰ δ' ἔτι μετὰ χεῖρας.

ιε'. Τότε

ad Heliconem elabuntur, multi dum pedem referunt, interimuntur.

13. Poſteaquam victoria ceſſit Ageſilao, & ipſe ad phalangem adlatus eſſet, accepto vulnere: quidam equites adactis equis ei dicunt, ex hoſtibus LXXX viros armatos eſſe ſub fano, quidque de his faciundum eſſet, interrogabant. Ille vero, quanquam accepiſſet multa toto paſſim corpore vulnera, & ab omnis generis telis inflicta; non tamen numinis obliviſcebatur, ſed mandabat, uti copiam eis facerent abeundi quo vellent, nec unus quidem læderetur. Quin equitibus etiam ſuis imperabat, ut eos deducerent, donec ad loca tuta perveniſſent.

14. Commiſſo jam prælio, videre erat illo in loco, quo congreſſi fuerant, terram ſanguine conſperſam, cadavera tam amicorum quam hoſtium ſparſim inter ſe jacentia, pertuſos clypeos, confractas haſtas, pugiones vaginis nudatos, partim humi, partim in corporibus, partim ipſis in manibus hærentes.

15. Ac

ιε΄. Τότε μὲν οὖν (καὶ γὰρ ἦν ἤδη ὀψέ) συνελκύσαντες τοὺς τῶν πολεμίων νεκροὺς εἴσω φάλαγγος, ἐδειπνοποιήσαντο καὶ ἐκοιμήθησαν· πρωῒ δὲ *Γύλον τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευσε τὸ στράτευμα καὶ τρόπαιον ἵστασθαι, καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ, καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν.

ιϛ΄. Καὶ οἱ μὲν ταῦτ᾽ ἐποίουν· οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκα, ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίνονται, καὶ ὁ Αγησίλαος οἴκαδε ἀπεχώρει, ἑλόμενος ἀντὶ τοῦ μέγιστος εἶναι ἐν τῇ Ασίᾳ, οἴκοι τὰ νόμιμα μὲν ἄρχειν, τὰ νόμιμα δὲ ἄρχεσθαι.

ιζ΄. Εκ δὲ τούτου κατανοήσας τοὺς Αργείους τὰ μὲν οἴκοι καρπουμένους, Κόρινθον δὲ προσειληφότας, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύει ἐπ᾽ αὐτούς· καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ τὰ στενὰ εἰς Κόρινθον, αἱρεῖ τὰ ἐπὶ τὸ Λέχαιον τείνοντα τείχη· καὶ ἀναπετάσας τῆς Πελοπονήσου τὰς πύλας, οὕτως οἴκαδε ἀπελθὼν εἰς τὰ Υακίνθια,

15. Ac tum quidem, quia veſper advenerat, tractis hoſtium cadaveribus intra phalangem, cœnaque ſumta, quieti ſe dederunt. Poſtridie vero Gylum tribunum militum aciem mane jubet inſtruere, ac tropæum excitare, inque honorem Dei corollis omnes ſe redimire, tibicines denique omnes tibiis canere.

16. Interea dum hoc illi faciunt, Thebani præcone miſſo, mortuorum cadavera per inducias ad ſepulturam poſcunt. Itaque fiunt induciæ, ac domum Ageſilaus diſcedit; quum mallet domi potius legitime imperare, ac imperium legitimum pati, quam in Aſia eſſe maximus.

17. Secundum hæc animadvertens, Argivos copia rerum domeſticarum frui, & Corinthum adjeciſſe imperio ſuo, & bello delectari; expeditionem adverſus eos ſuſcipit, vaſtatoque omni eorum agro, mox inde ſuperatis anguſtiis Corinthum verſus, muros Lechæum uſque pertinentes capit: & patefactis Peloponeſi portis, domum revertens ad Hyacinthia,

quo

κίνθια, ὅπου ἐτάχθη ὑπὸ τοῦ χοροποιοῦ, τὸν παιᾶνα τῷ θεῷ συνεπετέλει.

ιη'. Εκ τούτου δὲ αἰσθανόμενος τοὺς Κορινθίους πάντα μὲν τὰ κτήνη ἐν τῷ Πειραίῳ σωζομένους, μέγιστον δὲ ἡγησάμενος, ὅτι Βοιωτοὶ ταύτῃ ἐκ Κρεύσιος ὁρμώμενοι εὐπετῶς τοῖς Κορινθίοις συνεγίγνοντο, στρατεύει ἐπὶ τὸ Πείραιον. ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ὡς ἐνδιδομένης τῆς πόλεως, ἐξ ἀρίστου μετεστρατοπεδεύετο πρὸς τὸ ἄστυ.

ιθ'. Αισθόμενος δὲ, ὑπὸ νύκτα βεβοηθηκότας ἐκ τοῦ Πειραίου εἰς τὴν πόλιν πανσυδὶ, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ, αἱρεῖ τὸ Πείραιον, ἔρημον εὑρὼν φυλακῆς· καὶ τά τε ἄλλα τὰ ἐνόντα λαμβάνει, καὶ τὰ * τείχη ἀνατετείχιστο. ταῦτα δὲ ποιήσας, οἴκαδε ἀπεχώρησε.

κ'. Μετὰ δὲ ταῦτα προθύμων ὄντων τῶν Αχαιῶν εἰς τὴν συμμαχίαν, καὶ δεομένων συστρατεύειν αὐτοῖς εἰς Αχαρνανίαν, καὶ ἐπιθεμένων ἐν στενοῖς τῶν Αχαρνάνων, καταλαβὼν τοῖς ψιλοῖς τὰ ὑπὲρ κεφαλῆς αὐτῶν, μάχην συνάπτει·

quo conſtitutus erat loco à chori magiſtro, pæana cum aliis Apollini abſolvit.

18. Poſt hæc certior factus, Corinthios omnia jumenta in Piræo cuſtodire, ac maximum quiddam eſſe ducens, quod illac Bœoti è Creuſi profecti, facile ſe cum Corinthiis conjungerent; Piræum copias ducit. Quod quum præſidio multorum teneri videret, à prandio mutatis caſtris ad urbem propius pergit, quaſi ea ſpectaret ad deditionem.

19. Sub noctem animadverſo, eos omnibus cum copiis è Piræo in urbem opis ferendæ cauſſa ſe contuliſſe: prima luce converſo itinere, Piræum capit à præſidio nudum, neque ſolum ea, quæ intus erant; ſed etiam illa caſtella, quæ iſtic inſtaurata fuerant. His rebus geſtis, domum rediit.

20. Poſt hæc quum Achæi lubentes ad ſocietatem ſemet offerrent, & ut ſecum in Acarnaniam expeditio ſuſciperetur, orarent; Acarnanes autem in anguſtiis viarum eos adgrederentur: occupatis per velites ſuperioribus locis, pugnam

συνάπτει· καὶ πολλοὺς ἀποκτείνας αὐτῶν, τρόπαιον ἐστήσατο, καὶ οὐ πρότερον ἔληξε, πρὶν μὲν Ἀχαιοῖς φίλους ἐποίησεν Ἀκαρνᾶνας, καὶ Αἰτωλοὺς, καὶ Ἀργείους, ἑαυτῷ δὲ καὶ συμμάχους.

κα΄. Ἐπειδὴ δὲ εἰρήνης ἐπιθυμήσαντες οἱ πολέμιοι ἐπρεσβεύοντο, Ἀγησίλαος ἀντεῖπε τῇ εἰρήνῃ, ἕως τοὺς διὰ Λακεδαιμονίους φυγόντας Κορινθίων καὶ Θηβαίων ἠνάγκασε τὰς πόλεις οἴκαδε καταδέξασθαι. ὕστερον δ' αὖ καὶ Φλιασίων τοὺς διὰ Λακεδαιμονίους φυγόντας κατήγαγεν, αὐτὸς στρατευσάμενος ἐπὶ Φλιοῦντα.

κβ΄. Εἰ δέ τις ἄλλῃ πῃ ταῦτα μέμφεται, ἀλλ' οὖν φιλεταιρείᾳ γε πραχθέντα φανερά ἐστι. καὶ γὰρ ἐπεὶ τοὺς ἐν Θήβαις τῶν Λακεδαιμονίων κατέκτανον οἱ ἐναντίοι, βοηθῶν αὖ τούτοις στρατεύει ἐπὶ τὰς Θήβας. εὑρὼν δὲ ἀποτεταφρευμένα καὶ ἀπεσταυρωμένα ἅπαντα, ὑπερβὰς τὰς Κυνὸς κεφαλὰς ἐδῄου τὴν χώραν μέχρι τοῦ ἄστεος, παρέχων καὶ ἐν πεδίῳ καὶ ἀνὰ τὰ ὄρη μάχεσθαι Θηβαίοις, εἰ βούλοιντο. ἐστράτευσε δὲ καὶ τῷ ἐπιόντι πάλιν ἔτει ἐπὶ Θήβας. καὶ ὑπερβὰς τὰ κατὰ

Σκῶλον

cum ipſis conſerit, ac multis interfectis, tropæum ſtatuit; neque prius finem facit, quam Achæis Acarnanes, Ætolos, Argivos amicos, ſibi fœderatos effeciſſet.

21. Cæterum pacem poſcentibus per legatos adverſariis, Ageſilaus paci refragatus eſt, donec vi feciſſet, ut ii ex Corinthiis & Thebanis, qui ob Lacedæmonios exulabant, à civitatibus ſuis domum reducerentur. Deinde Phliaſios etiam ob Lacedæmoniorum amicitiam patria pulſos, reduxit; ipſemet expeditione adverſus Phliuntem ſuſcepta.

22. Quod ſi quis hæc alia quadam ratione vituperat, certe in ſocietatis ac amicitiæ gratiam geſta eſſe conſtat. Nam quum Thebis Lacedæmonios adverſarii necaſſent, ut eis ſuccurreret, expeditionem adverſus Thebas ſuſcepit. Quumque foſſa valloque munita cuncta reperiſſet, ſuperatis Cynoſcephalis ad urbem uſque vaſtabat agrum; facta Thebanis pugnæ copia tam in planicie quam in montibus, ſi ita vellent. Rurſum anno ſequenti cum exercitu Thebas petit, ſuperatiſque vallis ac foſſis ad

Scolum,

Σκῶλον σταυρώματα καὶ τάφρους, ἐδῄωσε τὰ λοιπὰ τῆς Βοιωτίας.

κγʹ. Τὰ μὲν δὴ μέχρι τούτου κοινῇ αὐτός τε καὶ ἡ πόλις εὐτύχει. ὅσα γε μὴν μετὰ τοῦτο σφάλματα ἐγένοντο, οὐδεὶς ἂν εἴποι ὡς Ἀγησιλάου ἡγουμένου ἐπράχθη. ἐπεὶ δ' αὐτοῖς ἐν Λεύκτροις συμφορᾶς γεγενημένης, κατακαίνουσι τοὺς ἐν Τεγέᾳ φίλους καὶ ξένους αὐτοῦ οἱ ἀντίπαλοι σὺν Μαντινεῦσι, συνεστηκότων ἤδη Βοιωτῶν τε πάντων, καὶ Ἀρκάδων, καὶ Ἠλείων, στρατεύει σὺν μόρᾳ, πολλῶν νομιζόντων οὐδ' ἂν ἐξελθεῖν Λακεδαιμονίους * πολλοῦ χρόνου ἐκ τῆς αὐτῶν. δῃώσας δὲ τὴν χώραν τῶν κατακαινόντων τοὺς φίλους, οὕτως αὖ οἴκαδε ἀπεχώρησεν.

κδʹ. Ἀπό γε μὴν τούτου ἐπὶ τὴν Λακεδαίμονα στρατευσαμένων Ἀρκάδων τε πάντων, καὶ Ἀργείων, καὶ Ἠλείων, καὶ Βοιωτῶν, καὶ σὺν αὐτοῖς Φωκέων, καὶ Λοκρῶν ἀμφοτέρων, καὶ Θετταλῶν, καὶ Αἰνιάνων, καὶ Ἀκαρνάνων, καὶ Εὐβοέων, πρὸς δὲ τούτοις ἀφεστηκότων μὲν τῶν δούλων, πολλῶν δὲ περιοικίδων πόλεων, καὶ αὐτῶν Σπαρτιατῶν οὐ μειόνων ἀπολωλότων ἐν τῇ ἐν Λεύκτροις μάχῃ

Scolum, reliquas Bœotiæ partes depopulatur.

23. Atque hactenus ipſe cum patria communi felicitate fuit uſus. Quicunque deinceps caſus adverſi acciderunt, hos Ageſilai ductu contigiſſe, nemo eſt qui dixerit. Poſteaquam ad Leuctra clades fuiſſet accepta, & amicos ac hoſpites ipſius Tegeæ necaſſent tum adverſarii, tum Mantinei, jamque ſe conjunxiſſent Bœoti omnes, & Arcades, & Elei: unam cohortem eduxit, exiſtimantibus multis, longo tempore Lacedæmonios extra fines ſuos non egreſſuros. Quumque vaſtaſſet agrum eorum qui amicos ipſius occiderant; ita deinde domum ſe rurſus recepit.

24. Secundum hæc Arcadibus univerſis, & Argivis, & Eleis, & Bœotis, quibus Phocenſes aderant, & utriſque Locris, & Theſſalis, & Ænianibus, & Acarnanibus, & Eubœnſibus, cum infeſtis copiis Lacedæmonem profectis, quum ſervi præterea, multæque finitimæ civitates defeciſſent, ac Spartanorum non pauciores in commiſſo ad Leuctra prælio fuiſ-

μάχῃ ἢ λειπομένων, ὅμως διεφύλαξε τὴν πόλιν, καὶ ταῦτα ἀτείχιστον οὖσαν· ὅπου μὲν παντὶ πλεῖον ἂν ἔχοιεν οἱ πολέμιοι, οὐκ ἐξάγων ἐνταῦθα, ὅπου δὲ οἱ πολῖται πλέον ἕξειν ἔμελλον, εὐρώστως παρατεταγμένος· νομίζων, εἰς μὲν τὸ πλατὺ ἐξιὼν πάντοθεν ἂν περιέχεσθαι, ἐν δὲ τοῖς στενοῖς καὶ ὑπερδεξίοις τόποις ὑπομένων, τῷ παντὶ κρατεῖν ἄν.

κε΄. Ἐπεὶ γε μὴν ἀπεχώρησε τὸ στράτευμα, πῶς οὐκ ἂν φαίη τις αὐτὸν χρῆσθαι εὐγνωμόνως ἑαυτῷ; ὡς γὰρ τοῦ στρατεύεσθαι καὶ πεζῇ καὶ ἐφ᾽ ἵππων ἀπεῖργεν ἤδη τὸ γῆρας, χρημάτων δὲ ἑώρα τὴν πόλιν δεομένην, εἰ μέλλοι σύμμαχόν τινα ἕξειν, ἐπὶ τὸ πορίζειν ταῦτα ἑαυτὸν ἔταξε. καὶ ὅσα μὲν ἐδύνατο, οἴκοι μένων ἐμηχανᾶτο· ἃ δὲ καιρὸς ἦν, οὐκ ὤκνει μετιέναι.

κϛ΄. Οὐ δ᾽ ᾐσχύνετο, εἰ μέλλοι τὴν πόλιν ὠφελήσειν, πρεσβευτὴς ἐκπορευόμενος ἀντὶ στρατηγοῦ. ὅμως δὲ καὶ ἐν τῇ πρεσβείᾳ μεγάλου στρατηγοῦ

ἔργα

ſent interemti, quam ſuperſtites eſſent: nihilominus urbem tutatus eſt, quanquam ea careret mœnibus. Neque tamen illac ſuos educebat, ubi rebus omnibus potiores erant hoſtes, ſed ubi cives ſuperiores futuri erant, magno cum animi robore ſuorum ibidem inſtruebat aciem. Exiſtimabat enim, ſe, ſi ſpatioſa quædam in loca progreſſus eſſet, ab omni parte circumveniri poſſe: ſin arctis & ſuperioribus in locis ſe contineret, rebus omnibus hoſte potiorem futurum.

25. Quum vero exercitus diſceſſiſſet, cur non dixerit aliquis, eum egregie ſe geſſiſſe? Nam quum ſenectus eum tam à militia pedeſtri quam equeſtri arceret, ac patriæ pecuniis opus fore cerneret, ſi quidem ea ſocium ullum retinere vellet: harum ipſe parandarum onus in ſe recepit. Quicquid omnino poterat, domi manens moliebatur: & ſi quæ ferret occaſio, in iis inquirendis minime ſegnis erat.

26. Quinetiã minime erubeſcebat, modo reipublicæ profuturus eſſet, pro Imperatore legatus ire. Veruntamẽ & in ipſa legatione, magni

Imperatoris

ἔργα διεπράξατο. Αὐτοφραδάτης γάρ τε πολιορκῶν ἐν Ασσῳ Αριοβαρζάνην σύμμαχον ὄντα, δείσας Αγησίλαον, φεύγων ᾤχετο. Κότυς δ' αὖ Σηστὸν πολιορκῶν, Αριοβαρζάνου ἔτι οὖσαν, λύσας καὶ οὗτος τὴν πολιορκίαν, ἀπηλλάγη· ὥστ' οὐκ ἀλόγως καὶ ἀπὸ τῆς πρεσβείας τρόπαιον τῶν πολεμίων εἱστήκει αὐτῷ. Μαύσωλός γε μὴν κατὰ θάλασσαν ἑκατὸν ναυσὶ πολιορκῶν ἀμφότερα τὰ χωρία ταῦτα, οὐκέτι δείσας, ἀλλὰ πεισθεὶς, ἀπέπλευσεν οἴκαδε.

κζ'. Αξια θαύματος διεπράξατο. οἵ τε γὰρ εὖ πεπονθέναι νομίζοντες ὑπ' αὐτοῦ, καὶ οἱ φεύγοντες αὐτὸν, χρήματα ἀμφότεροι ἔδοσαν. ταχέως γε μὴν καὶ Μαύσωλος διὰ τὴν πρόσθεν Αγησιλάου ξενίαν συμβαλόμενος καὶ οὗτος χρήματα τῇ Λακεδαίμονι, * ἀπέπεμψαν αὐτὸν οἴκαδε, προπομπὴν δόντες μεγαλοπρεπῆ.

κη'. Εκ δὲ τούτου ἤδη μὲν ἐγεγόνει ἔτη ἀμφὶ τὰ ὀγδοήκοντα. κατανενοηκὼς δὲ τὸν Αιγυπτίων βασιλέα ἐπιθυμοῦντα τῷ Πέρσῃ πολεμεῖν, καὶ πολλοὺς μὲν πεζοὺς, πολλοὺς δὲ ἱππέας, πολλὰ δὲ χρήματα

Imperatoris munera obibat.* Nam quum Autophradates ad Aſſum Ariobarzanem fœderatum obſideret, Ageſilaum veritus, fuga inde diſceſſit. Cotys item, quum Seſtum obſideret, urbem Ariobarzanis; & ipſe ſoluta obſidione diſceſſit: ita ut non abs re tropæum de hoſtibus etiam ex legatione ſtatutum ei fuerit. Quinetiam quum Mauſolus mari centum navibus utrumque locum hunc obſideret, non metu adductus, ſed perſuaſione, domum cum claſſe abiit.

27. Dignas profecto res admiratione geſſit. Nam & illi, qui ab eo ſe adfectos beneficio putabant, & qui fugiebant ipſum, utrique pecunias ei dabant. Atqui & Mauſolus quum celeriter ob priſtinum ſibi cum Ageſilao hoſpitium pecunias in uſum Lacedæmonis contuliſſet, eum remiſit in patriam magna cum pompa deductum.

28. Erat jam annos natus LXXX. quumque animadvertiſſet, regem Ægyptiorum Perſico regi arma inferre cupere, peditatu, equitatu, pecuniis ampliſſimis inſtructum:

χρήματα ἔχοντα, ἄσμενος ἤκουσεν, ὅτι μετεπέμπετο αὐτόν· καὶ ταῦτα, ἡγεμονίαν ὑπισχνούμενος.

κθ΄. Ενόμιζε γὰρ τῇ αὐτῇ ὁρμῇ τῷ μὲν Αιγυπτίῳ χάριν ἀποδώσειν ἀνθ᾽ ὧν εὐηργετήκει τὴν Λακεδαίμονα· τοὺς δ᾽ ἐν τῇ Ασίᾳ Ελληνας πάλιν ἐλευθερώσειν, τῷ δὲ Πέρσῃ δίκην ἐπιθήσειν καὶ τῶν πρόσθεν, καὶ ὅτι νῦν σύμμαχος εἶναι φάσκων, ἐπέταττε Μεσσήνην ἀφιέναι. ἐπεὶ μέντοι ὁ μεταπεμψάμενος οὐκ ἀπεδίδου τὴν ἡγεμονίαν αὐτῷ, ὁ μὲν Αγησίλαος ὡς τὸ μέγιστον ἐξηπατημένος, ἐφρόντιζε, τί δεῖ ποιεῖν. ἐκ τούτου δὲ πρῶτον μὲν οἱ δίχα στρατευόμενοι τῶν Αιγυπτίων ἀφίστανται τοῦ βασιλέως· ἔπειτα δὲ καὶ οἱ ἄλλοι πάντες ἀπέλιπον αὐτόν. καὶ αὐτὸς μὲν δείσας, ἀπεχώρησε φυγῇ εἰς Σιδῶνα τῆς Φοινίκης· οἱ δ᾽ Αιγύπτιοι στασιάζοντες, διττοὺς βασιλέας αἱροῦνται.

λ΄. Ενταῦθα δὴ Αγησίλαος γνοὺς, ὅτι εἰ μὲν μηδετέρῳ συλλήψοιτο, μισθὸν οὐδέτερος λύσει τοῖς Ελλησιν, ἀγορὰν δὲ οὐδέτερος παρέξει, ὁπότερός τ᾽ ἂν κρατήσῃ, οὗτος

ctum: perlubenter ab hoc arceſſiri ſe audivit, præſertim quod Imperatoris ei munus polliceretur.

29. Exiſtimabat enim, eadem profectione ſe gratiam Ægyptio pro collatis in Lacedæmonem beneficiis relaturum, Græcoſque Aſiaticos rurſus in libertatem adſerturum, & Perſæ pœnam irrogaturum, cum ob injurias jam præteritas, tum quod tunc ſe ſocium eſſe profeſſus, Meſſenen [Lacedæmonios] dimittere juſſiſſet. Poſteaquam vero ille, qui Ageſilaum arceſſiverat, munus Imperatoris ei non mandabat; maximopere deceptus, quid faciundum eſſet, cogitabat. Hinc Ægyptii, qui ſeorſum militabant, à regis fide deficiunt: mox & reliqui omnes eum deſerunt. Rex ipſe metuens ſibi, Sidonem Phœniciæ fuga ſe recepit. Ægyptii, orta ſeditione, reges duos creant.

30. Atque heic Ageſilaus, qui futurum intelligeret, ut ſi neutrum adjuvaret, neuter Græcis ſtipendiũ ſolveret, neuter rerum venalium forum ſuppeditaret, & utercunq; ſuperior

οὗτος ἐχθρὸς ἔσται· εἰ δὲ τῷ ἑτέρῳ συλλήψοιτο, οὗτός γε εὖ παθὼν, ὡς τὸ εἰκὸς, φίλος ἔσοιτο· οὕτω δὲ κρίνας, ὁπότερος φιλέλλην μᾶλλον ἐδόκει εἶναι, στρατευσάμενος μετὰ τούτου, τὸν μὲν μισέλληνα μάχῃ νικήσας χειροῦται, τὸν δὲ ἕτερον συγκαθίστησι, καὶ φίλον ποιήσας τῇ Λακεδαίμονι, καὶ χρήματα πολλὰ προσλαβὼν, οὕτως ἀποπλεῖ οἴκαδε, καίπερ μέσου χειμῶνος ὄντος, σπεύδων ὡς μὴ ἀργὸς ἡ πόλις εἰς τὸ ἐπιὸν θέρος πρὸς τοὺς πολεμίους γένοιτο.

ΚΕΦ. γʹ.

Καὶ ταῦτα μὲν δὴ εἴρηται, ὅσα τῶν ἐκείνου ἔργων μετὰ πλείστων μαρτύρων ἐπράχθη. τὰ γὰρ τοιαῦτα οὐ τεκμηρίων προσδεῖται, ἀλλ᾽ ἀναμνῆσαι μόνον ἀρκεῖ, καὶ εὐθὺς πιστεύεται. νῦν δὲ τὴν ἐν τῇ ψυχῇ αὐτοῦ ἀρετὴν πειράσομαι δηλοῦν, δι᾽ ἧς ταῦτα ἔπραττε, καὶ πάντων τῶν καλῶν ἤρα, καὶ πάντα αἰσχρὰ ἐδίωκεν.

βʹ. Αγη-

perior evaderet, is hoſtis eſſet: ſin alteri ſuppetias ferret, eum accepto beneficio, ceu par eſſet, amicum futurum: facto judicio, uter magis Græcorum ſtudioſus eſſe videretur, ejuſque militiam ſequutus; alterum quidem illum Græcis iniquum, victum prælio capit, alterum vero in regno conſtituit. Eundem quum Lacedæmoni amicum feciſſet, multaſque pecunias impetraſſet, domum deinde navigat, quanquam media hyeme; idcirco feſtinans, ne ſequenti æſtate civitas adverſus hoſtes otioſa foret.

CAP. III.

Atque hactenus de rebus ab eo geſtis diximus, quæcunque plurimorum teſtimoniis confirmantur. Nam res ejuſmodi argumentorum probationibus haud egent, adeoque ſatis eſt, tantum in memoriam eas redigi, quum ita mox fidem mereantur. Nunc quæ fuerit in ejus animo virtus, indicare conabor, qua & res haſce gerebat, & omnia honeſta diligebat, averſatus omnia turpia.

2. Tanta

β΄. Ἀγησίλαος γὰρ τὰ μὲν θεῖα οὕτως ἐσέβετο, ὡς καὶ οἱ πολέμιοι τοὺς ἐκείνου ὅρκους καὶ τὰς ἐκείνου σπονδὰς πιστοτέρας ἐνόμιζον, ἢ τὴν ἑαυτῶν φιλίαν. *....... μὲν ὤκνουν εἰς ταὐτὸν ἰέναι, Ἀγησιλάῳ δὲ αὑτοὺς ἐνεχείριζον. ὅπως δὲ μή τις ἀπιστῇ, καὶ ὀνομάσαι βούλομαι τοὺς ἐπιφανεστάτους αὐτῶν.

γ΄. Σπιθριδάτης μέν γε ὁ Πέρσης, εἰδὼς ὅτι Φαρνάβαζος γῆμαι μὲν τὴν βασιλέως ἔπραττε θυγατέρα, τὴν δ᾽ αὐτοῦ ἄνευ γάμου λαβεῖν ἐβούλετο· ὕβριν νομίσας τοῦτο, Ἀγησιλάῳ ἑαυτόν, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τὴν δύναμιν ἐνεχείρισε.

δ΄. Κότυς δὲ ὁ τῶν Παφλαγόνων ἄρχων βασιλεῖ μὲν οὐχ ὑπήκουσε δεξιὰν πέμποντι, φοβούμενος, μὴ ληφθεὶς, ἢ χρήματα πολλὰ ἀποτίσειεν, ἢ καὶ ἀποθάνοι· Ἀγησιλάου δὲ καὶ οὗτος ταῖς σπονδαῖς πιστεύσας, εἰς τὸ στρατόπεδόν τε ἦλθε, καὶ συμμαχίαν ποιησάμενος, εἵλετο σὺν Ἀγησιλάῳ στρατεύεσθαι,

χιλίους

2. Tanta erat in Ageſilao rerum divinarum reverentia, ut etiam hoſtes ſacramenta ejus & fœdera majorem mereri fidem arbitrarentur, quam ipſorum inter ſe amicitiam. Et ſuis quidem cum hominibus ad eundem locum convenire reformidabant, at Ageſilao in manus ipſimet ſe tradebant. Ut autem nemo ſit, qui fidem mihi non habeat: lubet eorum nomina recenſere, qui fuerunt imprimis illuſtres.

3. Spithridates Perſa, quum Pharnabazum ſciret id agere, ut filiam regis uxorem duceret, ac ipſius filia ſine legitimis nuptiis potiretur: ratus hoc inſigne ſibi fore dedecus, ſeipſum cum uxore, liberis, facultatibus in manus Ageſilao tradidit.

4. Et Cotys Paphlagonum princeps, regi quidem dextram mittenti non paruit, veritus ne ſi comprehenderetur, vel magnis pecuniis vel etiam morte multaretur: verum idem Ageſilai fœderibus fidem quum adhibuiſſet, in caſtra ejus venit, initaque ſocietate, cum Ageſilao militare maluit, quum

quidem

χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελτοφόρους ἔχων.

ε'. Ἀφίκετο δὲ καὶ Φαρνάβαζος Ἀγησιλάῳ εἰς λόγους, καὶ διωμολόγησεν, εἰ μὴ αὐτὸς πάσης τῆς στρατιᾶς στρατηγὸς καταστασθείη, ἀποστήσεσθαι βασιλέως· ἢν μέντοι ἐγὼ γένωμαι στρατηγὸς, ἔφη, πολεμήσω σοι, ὦ Ἀγησίλαε, ἕως ἂν ἐγὼ δύνωμαι κράτιστα. καὶ ταῦτα λέγων ἐπίστευε μηδὲν ἂν παράσπονδον παθεῖν. οὕτω μέγα καὶ καλὸν κτῆμα τοῖς τε ἄλλοις ἅπασι, καὶ ἀνδρὶ δὴ στρατηγῷ, τὸ ὅσιόν τε καὶ πιστὸν εἶναί τε καὶ ὄντα ἐγνῶσθαι. καὶ περὶ μὲν εὐσεβείας ταῦτα.

ΚΕΦ. Δ'.

Περί γε μὴν τῆς εἰς χρήματα δικαιοσύνης ποῖα ἄν τις μείζω τεκμήρια ἔχοι τῶνδε; ὑπὸ γὰρ Ἀγησιλάου στερηθῆναι μὲν οὐδεὶς οὐδὲν πώποτε ἐνεκάλεσεν, εὖ δὲ πεπονθέναι πολλοὶ πολλὰ ὡμολόγουν. ὅτῳ δὲ ἡδὺ τὰ αὐτοῦ διδόναι ἐπ' ὠφελείᾳ ἀνθρώπων, πῶς ἂν οὗτος ἐθέλοι τὰ

ἀλλότρια

quidem [illegible] mille, bis [illegible] c[illegible].

5 [illegible] Pharnabazus quoque cum Agesilao in colloquium venit, [illegible] ni [illegible] gerem, [illegible] Agesila[illegible] credebat, ut [illegible] nihil accideret. [illegible] præclara res est, quum in aliis [illegible] tum in Imperatore, religiosum esse, ac fidei servantem, talemque co[illegible]. Hæc de Agesilai pietate.

CAP. IV.

J[illegible] ad pecuniaria [illegible] argumenta majora [illegible] possunt? Nemo unquam [illegible] Agesilao se ulla [illegible] est, quum multi multa [illegible] se accepisse [illegible]. Cui vero volupe est, sua hominibus ad utilitatem largiri, quinam is aliena rapere

velit,

ἀλλότρια ἀποστερεῖν, ἐφ' ᾧ κακόδοξος εἴη; εἰ γὰρ χρημάτων ἐπιθυμοίη, πολὺ ἀπραγμονέστερον τὰ αὐτοῦ φυλάττειν, ἢ τὰ μὴ προσήκοντα λαμβάνειν.

β'. Ος δὲ δὴ καὶ χάριτας ἀποστερεῖν μὴ ἐθέλοι, ὧν οὐκ εἰσὶ δίκαι πρὸς τὸν μὴ ἀποδιδόντα, πῶς ἅ γε καὶ νόμος κωλύει, ἐθέλοι ἂν ἀποστερεῖν; Ἀγησίλαος δὲ οὐ μόνον τὸ μὴ ἀποδιδόναι χάριτας ἄδικον ἔκρινεν, ἀλλὰ καὶ τὸ μὴ πολὺ μείζους τὸν μείζω δυνάμενον.

γ'. Τά γε μὴν τῆς πόλεως κλέπτειν πῶς ἄν τις αὐτὸν εἰκότως αἰτιάσαιτο, ὃς καὶ τὰς αὐτῷ χάριτας ὀφειλομένας τῇ πατρίδι καρποῦσθαι παρεδίδου; τὸ δ', ὁπότε βούλοιτο εὖ ποιεῖν ἢ πόλιν ἢ φίλους χρήμασι, δύνασθαι παρ' ἑτέρων λαμβάνοντα ὠφελεῖν, οὐ τοῦτο καὶ μέγα τεκμήριον ἐγκρατείας χρημάτων;

δ'. Εἰ γὰρ ἐπώλει τὰς χάριτας, ἢ μισθοῦ εὐηργέτει, οὐδεὶς ἂν οὐδὲν ὀφείλειν αὐτῷ ἐνόμισεν. ἀλλ' οἱ προῖκα εὖ πεπονθότες, οὗτοι ἀεὶ ἡδέως ὑπηρετοῦσι

velit, quo male audiat? Nam ſi pecuniarum cupidus ſit, multo minori ſit cum negotio, ut ſua quis ſervet, quam ut aliena rapiat.

2. At qui non vult in iis ingratus eſſe, quibus pœnæ nullæ conſtitutæ ſunt, ſi quis gratiam non referat: quonam modo in aliis ille gratias non referat, in quibus lex ingratum eſſe vetat? Ageſilaus autem non tantum injuſtum eſſe judicabat, non referre gratias; ſed hoc etiam, ſi is qui plus poſſet, non majores quoque gratias referret.

3. Jam de peculatu qui poſſit aliquis eum inſimulare merito, qui beneficia ſibi debita patriæ fruenda conceſſerit? Itidem quod quum bene mereri vel de urbe aliqua, vel amicis pecuniis [illegible] volebat, ab aliis eas accipiendo juvare poterat, annon [illegible] hoc est argumentum continentiæ [illegible] in pecunia non adpetenda?

4. Nam ſi venderet beneficia, vel ſpe mercedis beneficus eſſet, nemo ſe quidquam ei debere ſtatuiſſet. Nimirum qui gratis beneficium acceperunt, illi perlubenter auctori

τοῦσι τῷ εὐεργέτῃ, καὶ διότι εὖ ἔπαθον, καὶ διότι προεπιστεύθησαν ἄξιοι εἶναι παρακαταθήκην χάριτος φυλάττειν.

ε. Ὅστις δὲ ᾑρεῖτο καὶ σὺν αὐτῷ δικαίῳ μειονεκτεῖν, ἢ σὺν αὐτῷ ἀδίκῳ πλέον ἔχειν, πῶς οὗτος οὐκ ἂν πολὺ τὴν αἰσχροκέρδειαν ἀποφεύγοι; ἐκεῖνος τοίνυν κριθεὶς ὑπὸ τῆς πόλεως ἅπαντα ἔχειν τὰ Ἄγιδος, τὰ ἡμίσεα τοῖς ἀπὸ μητρὸς αὐτοῦ ὁμογόνοις μετέδωκεν, ὅτι πενομένους αὐτοὺς ἑώρα. ὡς δὲ ταῦτα ἀληθῆ, πᾶσα μάρτυς ἡ τῶν Λακεδαιμονίων πόλις.

ς. Διδόντος δ᾽ αὐτῷ πάμπολλα δῶρα Τιθραύστου, εἰ ἀπέλθοι ἐκ τῆς χώρας, ἀπεκρίνατο ὁ Ἀγησίλαος· Ὦ Τιθραύστα, νομίζεται παρ᾽ ἡμῖν, τῷ ἄρχοντι κάλλιον εἶναι τὴν στρατιὰν, ἢ ἑαυτὸν πλουτίζειν, καὶ παρὰ τῶν πολεμίων λάφυρα μᾶλλον, ἢ δῶρα λαμβάνειν.

ΚΕΦ.

auctori beneficii ſemet obſequentes præbent; partim quod adfecti ſint beneficio, partim quod eſſe digni crediti ſint, qui beneficii depoſitum cuſtodiant.

5. Jam qui minus habere malebat, dum generoſus eſſe poſſet, quam plus, cum noxa injuſtitiæ: qui non ille à turpis lucri cupiditate multo magis abhorrebat? Ageſilaus certe, quum civitatis judicio facultates Agidis omnes ipſi eſſent addictæ, ſemiſſem earum cum matris ſuæ propinquis communicavit, quod eos premi paupertate videret. Id verum eſſe, teſtis univerſa Lacedæmoniorum eſt civitas.

6. Quum vero dona ei complura Tithrauſtes offerret, ſi ſuis finibus excederet: Exiſtimatur apud nos, inquit, honeſtius Imperatori eſſe, Tithrauſta, exercitum ſuum ditare, quam ſeipſum: & ab hoſtibus ſpolia potius quam dona referre.

ΚΕΦ. ε'.

Ἀλλὰ μὴν καὶ ὅσαι γε ἡδοναὶ πολλῶν κρατοῦσιν ἀνθρώπων, ποίας οἶδέ τις Ἀγησίλαον ἡττηθέντα; ὃς μέθης μὲν ἀποσχέσθαι ὁμοίως ᾤετο χρῆναι καὶ λαιμαργίας, σίτων δὲ ὑπὲρ καιρὸν ὁμοίως ὡς καὶ * ἁμαρτίας. διμοιρίαν γε μὴν λαμβάνων ἐν ταῖς θοίναις, οὐχ οὕτως ἀμφοτέραις ἐχρῆτο, ἀλλὰ διαπέμπων, οὐδετέραν αὑτῷ κατέλιπε· νομίζων βασιλεῖ τοῦτο διπλασιασθῆναι, οὐχὶ πλησμονῆς ἕνεκα, ἀλλ' ὅπως ἔχοι καὶ τούτῳ τιμᾶν, εἴ τινα βούλοιτο.

β'. Οὐ μὴν ὕπνῳ γε δεσπότῃ, ἀλλ' ἀρχομένῳ ὑπὸ τῶν πράξεων ἐχρῆτο. καὶ εὐνήν γε εἰ μὴ τῶν συνόντων φαυλοτάτην ἔχοι, αἰδούμενος οὐκ ἄδηλος ἦν. ἡγεῖτο γὰρ ἄρχοντι προσήκειν, οὐ μαλακίᾳ ἀλλὰ καρτερίᾳ, τῶν ἰδιωτῶν περιεῖναι.

γ'. Τάδε μέντοι πλεονεκτῶν οὐκ ᾐσχύνετο, ἐν μὲν τῷ θέρει,

CAP. V.

CÆterum à quanam earum voluptatum, à quibus multi vincuntur homines, Ageſilaum quis ſuperatum vidit? qui ab ebrietate perinde putabat abſtinendum, atque ab ingluvie: à cibis immodicis perinde, atque à grandi quodam flagitio. Quoties portionem duplicem in conviviis accipiebat, non utraque veſcebatur: ſed iis hinc inde miſſis, neutram ſibi reliquam faciebat. Exiſtimabat enim, regi eam duplicari, non ſatietatis nimiæ cauſſa: ſed ut ea poſſet, quem ipſe vellet, honorare.

2. Itidem ſomno, non ut domino, ſed eo qui negotiis ipſius pareret, utebatur. Quod ſi lectum inter familiares viliſſimum non haberet, non obſcurum erat, ipſum pudore adfici. Exiſtimabat enim Imperatorem decere potius, ut, tolerantia quam mollitie, privatis hominibus præſtaret.

3. Non tamen eum pudebat in aliis hujuſmodi rebus majorem ſibi partem poſcere, nimirum per æſtatem,

θέρει, τοῦ ἡλίου, ἐν δὲ τῷ χειμῶνι, τοῦ ψύχους. καὶ μὴν εἴ ποτε μοχθῆσαι στρατιᾷ συμβαίη, ἑκὼν ἐπόνει παρὰ τοὺς ἄλλους· νομίζων πάντα τοιαῦτα παραμυθίαν εἶναι τοῖς στρατιώταις. ὡς δὲ συνελόντι εἰπεῖν, Αγησίλαος πονῶν μὲν ἠγάλλετο, ῥᾳστώνην δὲ πάμπαν οὐ προσίετο.

δ΄. Περί γε μὴν ἀφροδισίων ἐγκρατείας αὐτοῦ, ἆρ᾽ οὐχὶ εἰ μή του ἄλλου ἀλλὰ θαύματος ἕνεκα ἄξιον μνησθῆναι; τὸ μὲν γὰρ ὧν μὴ ἐπεθύμησεν, ἀπέχεσθαι, ἀνθρώπινον ἄν τις φαίη εἶναι· τὸ δὲ, Μεγαβάτου τοῦ Σπιθριδάτου παιδὸς ἐρασθέντα (ὥσπερ ἂν τοῦ καλλίστου ἡ σφοδροτάτη φύσις ἐρασθείη) ἔπειτα ἡνίκα (ἐπιχωρίου ὄντος τοῖς Πέρσαις φιλεῖν οὓς ἂν τιμῶσιν) ἐπεχείρησε καὶ ὁ Μεγαβάτης φιλῆσαι τὸν Αγησίλαον, διαμάχεσθαι ἀνὰ κράτος τὸ μὴ φιληθῆναι, ἆρ᾽ οὐ τοῦτό γε ἤδη τὸ σωφρόνημα καὶ λίαν μανικόν;

ε΄. Επεὶ δὲ ὥσπερ ἀτιμασθῆναι νομίσας ὁ Μεγαβάτης τοῦ λοιποῦ οὐκέτι φιλεῖν ἐπειρᾶτο, προσφέρει τινὶ

λόγον

æſtatem, ſolis: per hyemem, frigoris. Quod ſi aliquando uſuveniret, ut laborandum exercitui eſſet; ſponte ſua ſupra cæteros laborabat: quod arbitraretur, ejuſmodi omnia militibus eſſe ſolatio. Denique ſummatim ut dicam, inter laborandum quidem exſultabat Ageſilaus, otium vero nullum prorſus admittebat.

4. De ipſius in venereis rebus continentia, cur ſi non alia, ſaltem miraculi cauſſa dignum non ſit mentionem fieri? Nam quod ab iis, quæ non expeteret, abſtinuerit; id factum aliquis humanitus dicere poſſit: quod autem Megabaten Spithridatæ filium amans, (quemadmodum indolis acerrimæ natura formoſiſſimum adamare poſſit) quum (recepto apud Perſas more oſculandi eos quos in honore haberent) etiam Megabates Ageſilaum oſculari adgrederetur, quominus id fieret, totis viribus repugnaverit; an non id inſane pudicum quoddam facinus eſt?

5. Poſtea quum Megabates, quaſi qui ſe ignominia putaret adfectum, non jam deinceps amplius

eum

λόγον τῶν ἑταίρων ὁ Ἀγησίλαος, πείθειν τὸν Μεγαβάτην πάλιν τιμᾶν αὐτόν. ἐρομένου δὲ τοῦ ἑταίρου, ἐὰν πεισθῇ ὁ Μεγαβάτης, εἰ φιλήσει, ἐνταῦθα διασιωπήσας ὁ Ἀγησίλαος, εἶπεν· οὐ τὼ σιώ, οὐδ' εἰ μέλλοιμί γε αὐτίκα μάλα κάλλιστός τε, καὶ ἰσχυρότατος, καὶ τάχιστος ἀνθρώπων ἔσεσθαι. μάχεσθαί γε μέντοι πάλιν τὴν αὐτὴν μάχην, ὄμνυμι πάντας τοὺς θεοὺς μᾶλλον βούλεσθαι, ἢ πάντα μοι, ὅσα ὁρῶ, χρυσᾶ γενέσθαι.

ϛ'. Καὶ ὅτι μὲν δὴ ὑπολαμβάνουσί τινες ταῦτα, οὐκ ἀγνοῶ. ἐγὼ μέντοι δοκῶ εἰδέναι, ὅτι πολὺ πλέονες τῶν πολεμίων, ἢ τῶν τοιούτων δύνανται κρατεῖν· ἀλλὰ ταῦτα μὲν ὀλίγων εἰδότων, πολλοῖς ἔξεστιν ἀπιστεῖν· ἃ δὲ πάντες ἐπιστάμεθα, ὅτι ἥκιστα μὲν οἱ ἐπιφανέστατοι τῶν ἀνθρώπων λανθάνουσιν, ὅ,τι ἂν ποιῶσιν· Ἀγησίλαον δέ τι πράξαντα μὲν τοιοῦτον οὔτε ἰδὼν πώποτε οὐδεὶς ἀνήγγειλεν, οὔτε εἰκάζων πιστὰ ἂν ἔδοξε λέγειν.

ζ'. Καὶ

eum oſculari adgrederetur; quendam ex ſodalibus ejus compellabat Ageſilaus, qui Megabatæ perſuaderet, ut rurſum ſe honore adficeret. Eo quærente, ſi pareret Megabates, an ipſum oſculaturus eſſet: tum vero ſubticuit Ageſilaus, ac deinde, Minime, inquit, non ſi confeſtim & formoſiſſimus, & robuſtiſſimus, & celerrimus omnium hominum futurus ſim. Sed tamen pugnam eandem pugnare me malle, Deos omnes teſtor; quam omnia, quæ cerno, aurea fieri.

6. Atque horum fidem pleriſque ſuſpectam eſſe, non ignoro. Id quidem ſcire videor, multo plures poſſe in vincendis hoſtibus, quam ejuſmodi rebus, ſuperiores evadere. Quum autem pauci hæc habeant cognita, fieri poteſt ut fidem apud multos non inveniant. Id vero ſcimus omnes, quod quum minime occultum eſſe poſſit, quidquid homines illuſtriſſimi agant; Ageſilaum tamen aliquid hujuſmodi deſignaſſe, nemo unquam vel viderit, vel dixerit; ac ne probabiliter quidem dicere viſus ſit, ſi ex conjecturis ſuſpicaretur.

7. Nam

ζ'. Καὶ γὰρ εἰς οἰκίαν μὲν οὐδεμίαν ἰδίᾳ ἐν ἀποδημίᾳ κατήγετο, ἀεὶ δὲ ἢ ἐν ἱερῷ, ἔνθα δὴ ἀδύνατον τὰ τοιαῦτα πράττειν, ἢ ἐν φανερῷ, μάρτυρας τοὺς πάντων ὀφθαλμοὺς τῆς σωφροσύνης ποιούμενος. εἰ δ' ἐγὼ ταῦτα ψεύδομαι ἀντία τῆς Ἑλλάδος ἐπισταμένης, ἐκεῖνον μὲν οὐδὲν ἐπαινῶ, ἐμαυτὸν δὲ ψέγω.

ΚΕΦ. ϛ'.

Ἀνδρείας γε μὴν οὐκ ἀφανῆ τεκμήρια μοι δοκεῖ παρασχέσθαι, ὑφιστάμενος μὲν ἀεὶ πολεμεῖν πρὸς τοὺς ἰσχυροτάτους τῶν ἐχθρῶν τῇ τε πόλει καὶ τῇ Ἑλλάδι, ἐν δὲ τοῖς πρὸς τούτους ἀγῶσι πρῶτον μὲν ἑαυτὸν τάττων.

β'. Ἔνθα γε μὴν ἠθέλησαν αὐτῷ οἱ πολέμιοι μάχην συνάψαι, οὐ φόβῳ τρεψάμενος νίκης ἔτυχεν, ἀλλὰ μάχῃ ἀντιτύπῳ κρατήσας τρόπαιον ἐστήσατο, ἀθάνατα μὲν τῆς ἑαυτοῦ ἀρετῆς μνημεῖα καταλιπών, σαφῆ δὲ καὶ αὐτὸς σημεῖα ἀπενηνεγμένος τοῦ θυμῷ μάχεσθαι· ὥστ᾽ οὐκ ἀκούοντας,

7. Nam in itineribus nullam in domum privatim divertebat, ſed ſemper vel in fanum aliquod, ubi fieri non poteſt ut eiuſmodi peccentur, vel in propatulo: quoniam ſic pudicitiæ ſuæ omnium oculos teſtes faceret. Quod ſi hæc ego contra Græciæ ſcientiam mentior, non jam ipſum laudo, ſed meipſum vitupero.

CAP. VI.

CÆterum fortitudinis documenta non obſcura mihi quidem dediſſe videtur, quum ſemper ad gerendum adverſus hoſtes reipublicæ ſuæ ac Græciæ potentiſſimos bellum ſe obtulerit, & in prœliis adverſus eos prima ſe in acie collocarit.

2. Quod ſi hoſtes manum cum eo conſerere vellent, non ipſos metu terga dare coactis, potitus eſt victoria: ſed adverſo prœlio ſuperatis tropæum excitavit, immortalibus virtutis ſuæ monumentis relictis, & ſignis haud obſcuris ſecum ablatis, quod animoſe pugnaret: adeo quidem, ut non audiendo,

ταῖς, ἀλλ' ὁρῶντας ἐξῆν αὐτοῦ τὴν ψυχὴν δοκιμάζειν.

γ'. Τρόπαιά γε μὴν Ἀγησιλάου οὐχ ὅσα ἐστήσατο, ἀλλ' ὅσα ἐστρατεύσατο, δίκαιον νομίζειν. μεῖον μὲν γὰρ οὐδὲν ἐκράτει, ὅτι οὐκ ἤθελον αὐτῷ οἱ πολέμιοι μάχεσθαι ἀκινδυνότερον δὲ καὶ συμφορώτερον τῇ τε πόλει καὶ τοῖς συμμάχοις. καὶ ἐν τοῖς ἀγῶσι δὲ οὐδὲν ἧττον τοὺς ἀκονιτὶ, ἢ τοὺς διὰ μάχης νικῶντας στεφανοῦσι.

δ'. Τήν γε μὴν σοφίαν αὐτοῦ ποῖαι τῶν ἐκείνου πράξεων οὐκ ἐπιδεικνύουσιν; ὃς τῇ μὲν πατρίδι οὕτως ἐχρῆτο, ὥστε μάλιστα * πειθόμενος ἑταίροις προθύμως ὢν, ἀπροφασίστους τοὺς φίλους ἐκέκτητο. τοὺς δέ γε στρατιώτας ἅμα πειθομένους καὶ φιλοῦντας αὐτὸν παρεῖχε. καίτοι πῶς ἂν ἰσχυροτέρα γένοιτο φάλαγξ, ἢ διὰ τὸ μὲν πείθεσθαι εὔτακτος οὖσα, διὰ δὲ τὸ φιλεῖν τὸν ἄρχοντα πιστῶς παροῦσα;

ε'. Τούς γε μὴν πολεμίους εἶχε ψέγειν μὲν οὐ δυναμένους, μισεῖν δὲ ἀναγκαζομένους. τοὺς γὰρ συμμά-

χους

da, sed intuendo liceret animum ipsius explorare.

3. Agesilai vero tropæa non ea solum esse, quæ ipse statuit, putari æquum est: sed quæ in expeditionibus promeruit. Nam propter ea nihilo minorem reportabat victoriam, quod cum eo dimicare hostes nollent, sed magis expertem periculi, & cum reipublicæ tum sociis utiliorem. Nam in certaminibus nihilo minus ii qui sine labore, quam qui pugnando vincunt, coronantur.

4. Sapientiam autem Agesilai quæ illius actiones non demonstrant? qui sic erga patriam se [illegible], ut quum [illegible] amicos sibi promtissimos compararet. [illegible] autem [illegible] modo [illegible], sed etiam [illegible] effecit. Et [illegible] potest esse fortior [illegible] quam si propter obediendi [illegible] & propter amorem erga ducem [illegible] fit?

5. Hostes, quos habuit, vituperare quidem ipsum non poterant, odisse vero cogebantur. Semper

enim

χοις ἀεὶ πλέον ἔχειν αὐτὴν ἐμηχανᾶτο, ἐξαπατῶν μὲν ὅπου καιρὸς εἴη, φθάνων δὲ ὅπου τάχους δέοι, λήθων δὲ ὅπου τοῦτο συμφέροι, πάντα δὲ τἀναντία πρὸς τοὺς πολεμίους, ἢ πρὸς τοὺς φίλους ἐπιτηδεύων.

ϛʹ. Καὶ γὰρ νυκτὶ μὲν ὅσαπερ ἡμέρᾳ ἐχρῆτο, ἡμέρᾳ δὲ ὅσαπερ νυκτὶ, πολλάκις ἄδηλος γιγνόμενος ὅπου τε εἴη, καὶ ὅπου ἴοι, καὶ ὅ, τι ποιήσοι. ὥστε καὶ τὰ ἰσχυρὰ ἀνώχυρα τοῖς ἐχθροῖς καθίστη, τὰ μὲν παριὼν, τὰ δὲ ὑπερβαίνων, τὰ δὲ κλέπτων.

ζʹ. Οπότε γε μὴν πορεύοιτο, εἰδὼς ὅτι ἐξείη τοῖς πολεμίοις μάχεσθαι, εἰ βούλοιντο, συντεταγμένον μὲν οὕτως ἦγε τὸ στράτευμα, ὡς ἂν ἐπικουρεῖν μάλιστα ἑαυτῷ δύναιτο, ἡσύχως δὲ, ὥσπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι· νομίζων ἐν τῷ τοιούτῳ τό, τε ἀτρεμὲς, καὶ ἀνεκπληκτότατον, καὶ ἀθορυβητότατον, καὶ ἀναμαρτητότατον, καὶ δυσεπιβουλευτότατον εἶναι.

ηʹ. Τοιγαροῦν τοιαῦτα ποιῶν, τοῖς μὲν πολεμίοις δεινὸς ἦν,

enim hoc moliebatur, ut fœderatis melius eſſet quam hoſtibus: quos quidem fraude circumveniebat, ubi ferret occaſio: & antevertebat, ſi celeritate foret opus: deliteſcens etiam, ubi hoc ex uſu foret. Denique adverſus hoſtes inſtituebat omnia illis contraria, quæ amicis præſtaret.

6. Nam, nocte perinde ac die utebatur; die perinde ac nocte: nonnunquam ubi eſſet, quo iret, quid faceret, non conſtabat. Quo pacto ex munitis hoſtium locis, non munita reddebat, vel prætereundo, vel ſuperando, vel furtim intercipiendo.

7. Quoties iter faceret, quia ſciret hoſtibus pugnandi poteſtatem eſſe, ſi vellent: ita inſtructum ducebat exercitum, ut ſibi ipſi poſſet imprimis opitulari; & tranquille, inſtar pudiciſſimæ virginis, incederet. Exiſtimabat enim, in hoc ſitam eſſe quietem [exercitus], & ſummam immunitatem ab omni terrore, perturbatione, peccatis, inſidiis.

8. Quare dum ita ſe gereret, hoſtibus erat formidini, &

τοῖς δὲ φίλοις θάρσος καὶ ῥώμην ἐνεποίει. ὥστε ἀκαταφρόνητος μὲν ὑπὸ τῶν ἐχθρῶν διετέλεσεν, ἀζήμιος δὲ ὑπὸ τῶν πολιτῶν, ἄμεμπτος δὲ ὑπὸ τῶν φίλων, πολυεραστότατος δὲ καὶ πολυεπαινότατος ὑπὸ πάντων ἀνθρώπων.

ΚΕΦ. ζʹ.

ΩΣ γε μὴν φιλόπολις ἦν, καθ' ἓν μὲν ἕκαστον μακρὸν ἂν εἴη γράφειν. οἴομαι γὰρ οὐδὲν εἶναι τῶν πεπραγμένων αὐτῷ ὅ,τι οὐκ εἰς τοῦτο συντείνει. ὡς δ' ἐν βραχεῖ εἰπεῖν, ἅπαντες ἐπιστάμεθα, ὅτι Αγησίλαος ὅπου ᾤετο τὴν πατρίδα ὠφελήσειν, οὐ πόνων ὑφίετο, οὐ κινδύνων ἀφίστατο, οὐ χρημάτων ἐφείδετο, οὐ σῶμα, οὐ γῆρας προὐφασίζετο· ἀλλὰ καὶ βασιλέως ἀγαθοῦ τοῦτο ἔργον ἐνόμιζε, τὸ τοὺς ἀρχομένους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν.

βʹ. Εν τοῖς μεγίστοις δὲ ὠφελήμασι τῆς πατρίδος καὶ τόδε ἐγὼ τίθημι αὐτοῦ, ὅτι δυνατώτατος ὢν ἐν τῇ πόλει, φανερὸς ἦν μάλιστα τοῖς νόμοις λατρεύων. τίς γὰρ ἂν ἠθέ-

λησεν

amicis fiduciam animique robur addebat. Quo factum, ut hoſtibus nunquam eſſet contemtui, ab civibus non multaretur, ab amicis non vituperaretur, ab hominibus denique univerſis plurimum & diligeretur & prædicaretur.

CAP. VII

CÆterum quam patriæ fuerit ſtudioſus, ſingulatim perſcribere longum fuerit. Nam nihil ab eo geſtum arbitror, quod eo non ſpectet. Atque, ut breviter dicam, ſcimus omnes, Ageſilaum, ubicunque ſe profuturum patriæ putaret, non labores ſubterfugiſſe, non recuſaſſe pericula, non pepercisſe facultatibus, non corporis, non ſenectutis uſum excuſatione fuiſſe. Immo boni regis eſſe putabat, quamplurimis beneficiis ſubditos adficere.

2. Atque equidem in maximis commodis, quæ adtulit patriæ, hoc etiam pono: quod quum in republica plurimum poſſet, maxime tamen legibus ſe ſervire declararet. Nam quis tandem obe-

dire

λησεν ἀπειθεῖν, ὁρῶν τὸν βασιλέα πειθόμενον; τίς δ᾽ ἂν ἡγούμενος μειονεκτεῖν, νεώτερόν τι ἐπεχείρησε ποιεῖν, εἰδὼς τὸν βασιλέα νομίμως καὶ τὸ κρατεῖσθαι φέροντα; ὃς καὶ πρὸς τοὺς διαφόρους ἐν τῇ πόλει, ὥσπερ πατὴρ πρὸς παῖδας, προσεφέρετο.

γʹ. Ἐλοιδορεῖτο μὲν γὰρ ἐπὶ τοῖς ἁμαρτήμασιν, ἐτίμα δ᾽ εἴ τι καλὸν πράττοιεν, παρίστατο δ᾽ εἴ τις συμφορὰ συμβαίνοι, ἐχθρὸν μὲν οὐδένα ἡγούμενος πολίτην, ἐπαινεῖν δὲ πάντας ἐθέλων, σώζεσθαι δὲ πάντας κέρδος νομίζων, ζημίαν δὲ τιθεὶς, εἰ καὶ ὁ μικροῦ ἄξιος ἀπόλοιτο. εἰ δ᾽ ἐν τοῖς νόμοις ἠρεμοῦντες διαμένοιεν, δῆλος ἦν εὐδαίμονα μὲν αἰεὶ ἔσεσθαι τὴν πατρίδα λογιζόμενος, ἰσχυρὰν δὲ τότε, ὅταν οἱ Ἕλληνες σωφρονῶσιν.

δʹ. Εἴγε μὴν αὖ καλὸν Ἕλληνα ὄντα φιλέλληνα εἶναι, τίνα τις εἶδεν ἄλλον στρατηγὸν ἢ πόλιν οὐκ ἐθέλοντα αἱρεῖν, ὅταν οἴηται πορθήσειν; ἢ συμφορὰν νομίζοντα

dire his noluiſſet, quum eis regem obtemperantem videret? quis novas res moliri tentaſſet, propterea quod ipſe inferiori eſſet loco, quum regem pati ſciret, ut ſibi legitime imperaretur? qui quidem etiam in illos, qui ab eo diſſentiebant in republica, non aliter ſe gerebat atque pater erga filios.

3. Nam ſi quid deliquiſſent, objurgabat: honore proſequebatur, ſi præclare quid geſſiſſent: ferebat auxilium, ſi qua accidiſſet calamitas: hoſtis loco civem nullum habebat, collaudare cupiebat omnes, ſervari omnes pro lucro ducebat; & è contrario, pro jactura, ſi quis etiam non magni pretii homo periiſſet. Quod ſi pacate in legibus permanerent, patriam uſque beatam fore plane arbitrabatur; tum vero potentem, quandocunque Græci frugi eſſent.

4. Jam ſi præclarum eſt Græcum hominem Græci nominis eſſe ſtudioſum: quiſnam alium imperatorem vidit, qui vel urbem capere nollet, ſi eam ſe vaſtaturum putaret, vel pro calamitate

μίζοντα τὸ νικᾷν ἐν τῷ πρὸς Ἕλληνας πολέμῳ;

ε'. Ἐκεῖνος τοίνυν, ἀγγελίας μὲν ἐλθούσης αὐτῷ, ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ *....... μύριοι τεθναῖεν, οὐκ ἐφησθεὶς φανερὸς ἐγένετο, ἀλλ' εἶπεν ἄρα, Φεῦ ὦ Ἑλλάς, ὁπότε οἱ νῦν τεθνηκότες ἱκανοὶ ἦσαν ζῶντες νικᾷν μαχόμενοι πάντας βαρβάρους.

ϛ'. Κορινθίων γε μὴν τῶν φευγόντων, λεγόντων ὅτι ἐνδιδοῖτο αὐτοῖς ἡ πόλις, καὶ μηχανὰς ἐπιδεικνυόντων, αἷς πάντες ἤλπιζον ἑλεῖν τὰ τείχη, οὐκ ἤθελε προσβάλλειν, λέγων, ὅτι οὐκ ἀνδραποδίζεσθαι δέοι Ἑλληνίδας πόλεις, ἀλλὰ σωφρονίζειν. εἰ δὲ τοὺς ἁμαρτάνοντας, ἔφη, ἡμῶν αὐτῶν ἀφανιοῦμεν, ὁρᾷν χρὴ μὴ οὐδ' ἔχωμεν μεθ' ὅτου τῶν βαρβάρων κρατήσομεν.

ζ'. Εἰ δ' αὖ καλὸν καὶ Μισοπέρσην εἶναι, ὅτι καὶ ὁ πάλαι ἐξεστράτευσεν ὡς δουλωσόμενος, καὶ ὁ νῦν συμμαχεῖ μὲν τούτοις μεθ' ὁποτέρων ἂν οἴηται μείζω βλάψειν, δω-

ρεῖται

duceret, in bello, quod cum Græcis gereretur, victoria potiri?

5. Ageſilaus quidem certe, quum nuntium accepiſſet, in pugna Corinthia Lacedæmonios octo duntaxat, [hoſtium] vero propemodum innumeros periiſſe, nulla lætitiæ ſignificatione data: Heu Græciam, inquit, noſtram! hi ſane, qui nunc interemti ſunt, vivi barbaros omnes prælio vincere potuiſſent.

6. Idem, quum exſules Corinthii dicerent urbem deditionem facturam, ac machinas oſtenderent, quibus moenia ſe capturos ſperabant omnes: copias tamen admovere noluit, quod diceret, Græci nominis urbes minime vaſtandas eſſe, ſed caſtigandas. Quod ſi delinquentes, ait, è medio noſtrum tollere volemus, cavendum eſt ne quo barbaros ſuperemus, non habeamus.

7. Rurſus ſi præclarum eſt, Perſas odio proſequi, propterea quod is qui olim vixit [Rex Perſicus,] exercitum eduxit, ut Græciam in ſervitutem redigeret; & qui nunc rerum potitur, auxilium fert iis qui-

ρεῖται δ' ἐκείνοις οὓς ἂν νομίζῃ λαβόντας, πλεῖστα κακὰ τοὺς Ελληνας ποιήσειν, εἰρήνην δὲ συμπράττει ἐξ ἧς ἂν ἡγῆται μάλιστ' ἂν ἡμᾶς ἀλλήλοις πολεμήσειν· (ὁρῶσι μὲν οὖν ἅπαντες ταῦτα) ἐπεμελήθη δέ τις ἄλλος πώποτε πλὴν Αγησίλαος, ἢ ὅπως τι φῦλον ἀποστήσεται τοῦ Πέρσου, ἢ ὅπως τὸ ἀποστὰν μὴ ἀπόληται, ἢ τὸ παράπαν ὡς καὶ βασιλεὺς κακὰ ἔχων μὴ δύνηται τοῖς Ελλησι πράγματα παρέχειν; ὃς καὶ πολεμούσης τῆς πατρίδος πρὸς Ελληνας, ὅμως τοῦ κοινοῦ ἀγαθοῦ τῇ Ελλάδι οὐκ ἠμέλησεν, ἀλλ' ἐξέπλευσεν ὅ, τι δύναιτο κακὸν ποιήσων τὸν βάρβαρον.

ΚΕΦ. η'.

Αλλὰ μὴν ἄξιόν γε αὐτοῦ καὶ τὸ εὔχαρι μὴ σιωπᾶσθαι; ᾧ γε ὑπαρχούσης μὲν τιμῆς, ὑπαρχούσης δὲ δυνάμεως, πρὸς δὲ τούτοις βασιλείας, καὶ ταύτης οὐκ ἐπιβουλευομένης, ἀλλ' ἀγαπωμένης, τὸ μὲν μεγάλαυχον οὐκ ἂν εἶδέ τις,

quibuſcum conjunctus majus ſe damnum illaturum exiſtimat: munera dat illis quos putat eis acceptis Græcos maximo detrimento adfecturos: pax ut conſtituatur, adjuvat, ex qua noſmet inter nos maxime bellum geſturos cenſet: (uti ſane fieri nemo non videt) an quis alius unquam, excepto Ageſilao, in hoc incubuit, ut vel aliqua natio à rege Perſico deficeret, vel quæ defeciſſet, non periret; vel omnino, ut rex malis preſſus Græcis negotium faceſſere non poſſet? qui quidem patria ſua bellum adverſus Græcos gerente, nihilominus publicum Græciæ commodum non neglexit: ſed cum claſſe domo profectus eſt, barbarum illum pro ſuis viribus male multaturus.

CAP. VIII.

Est etiam operæpretium, comitatem ipſius ſilentio non præterire, qui quum honore, potentia, regno, eoque ſine inſidiis, omnium cum amore potiretur; à nemine obnoxius eſſe jactantiæ viſus τις, τὸ δὲ φιλόστοργον, καὶ θεραπευτικὸν τῶν φίλων, καὶ μὴ ζητῶν κατενόησεν ἄν.

β'. Καὶ μὴν μετεῖχε μὲν ἥδιστα παιδικῶν λόγων, συνεσπούδαζε δὲ πᾶν ὅ, τι δέοι φίλοις. διὰ δὲ τὸ εὔελπις, καὶ εὔθυμος, καὶ ἀεὶ ἱλαρὸς εἶναι, πολλοὺς ἐποίει μὴ τοῦ διαπράξασθαί τι μόνον ἕνεκα πλησιάζειν, ἀλλὰ καὶ τοῦ ἥδιον διημερεύειν. ἥκιστα δ' ὢν οἷος μεγαληγορεῖν, ὅμως τῶν ἐπαινούντων αὐτοὺς οὐ βαρέως ἤκουεν, ἡγούμενος βλάπτειν οὐδὲν αὐτούς, ὑπισχνεῖσθαι δὲ ἄνδρας ἀγαθοὺς ἔσεσθαι.

γ'. Ἀλλὰ μὴν καὶ τῇ μεγαλογνωμοσύνῃ γε ὡς εὐκαίρως ἐχρῆτο, οὐ παραλειπτέον. ἐκεῖνος γάρ, ὅτ' ἦλθεν αὐτῷ ἐπιστολὴ παρὰ βασιλέως, ἣν ὁ μετὰ Καλλία τοῦ Λακεδαιμονίου Πέρσης ἤνεγκε, περὶ ξενίας τε καὶ φιλίας αὐτοῦ, ταύτην μὲν οὐκ ἐδέξατο, τῷ δὲ φέροντι εἶπεν, ἀπαγγεῖλαι βασιλεῖ, ὡς ἰδίᾳ μὲν πρὸς αὐτὸν οὐδὲν δέοι ἐπιστολὰς

πέμ-

viſus eſt, quum eum ſuorum amantiſſimum, & in amicis colendis ſtudioſum eſſe, quivis vel aliud agens, animadvertere poſſet.

2. Perlubenter haberi ſecum verba de amoribus ferebat, atque idem amicis in rebus ſeriis operam dabat, ſicubi opus eſſet. Et quia bona ſpe plenus erat, alacrique & hilari animo; efficiebat ut multi eum familiariter convenirent, non tantum ut aliquid impetrarent; ſed uti jucundius diem exigerent. Præterea quum longiſſime abeſſet à jactantia, nihilominus haud gravatim audiebat eos qui ſeipſos prædicarent: quod eos nulli eſſe damno putaret, potiuſque polliceri, ſe viros fortes futuros.

3. Ne id quidem omittendum, quam opportune animi magnitudine ſoleret uti. Nam quum à rege Perſarum ei litteræ redderentur, quas de neceſſitudine hoſpitii, & de amicitia regis perſcriptas adtulerat is Perſa, qui cum Callia Lacedæmonio venerat; minime illas accepit, ſed eum, à quo adlatæ fuerant, renuntiare juſſit regi; non eſſe, quamobrem privatim litteras ad

πέμπειν· ἢν δὲ φίλος τῇ Λακεδαίμονι, καὶ τῇ Ελλάδι εὔνους ὢν φαίνηται, ὅτι καὶ αὐτὸς φίλος ἀνὰ κράτος αὐτῷ ἔσοιτο. ἢν μέντοι, ἔφη, ἐπιβουλεύων ἁλίσκηται, μηδ' ἂν πάνυ πολλὰς ἐπιστολὰς δέχωμαι, φίλον ἕξειν ἐμὲ οἰέσθω.

δ'. Εγὼ οὖν καὶ τοῦτο ἐπαινῶ Αγησιλάου, ὅ, πρὸς τὸ ἀρέσκειν τοῖς Ελλησιν, ὑπεριδεῖν τὴν βασιλέως ξενίαν. ἄγαμαι δὲ κἀκεῖνο ὅτι οὐχ ὁπότερος πλείω τε χρήματα ἔχει, καὶ πλειόνων ἄρχει, ★ τοῦτο ἡγήσατο μεῖζον φρονητέον εἶναι, ἀλλ' ὁπότερος αὐτός τε ἀμείνων εἴη, καὶ ἀμεινόνων ἡγοῖτο.

ε'. Επαινῶ δὲ κἀκεῖνο τῆς προνοίας αὐτοῦ· ὅτι νομίζων ἀγαθὸν τῇ Ελλάδι ἀφίστασθαι τοῦ βασιλέως ὡς πλείστους σατράπας, οὐκ ἐκρατήθη οὔθ' ὑπὸ δώρων, οὔθ' ὑπὸ τῆς βασιλέως ῥώμης, ἐθελήσας ξενωθῆναι αὐτῷ· ἀλλ' ἐφυλάξατο μὴ ἄπιστος γενέσθαι τοῖς ἀφίστασθαι βουλομένοις.

ϛ'. Εκεῖνό γε μὴν αὐτοῦ τίς οὐκ ἂν ἀγασθείη; ὁ μὲν γὰρ Πέρσης

ad ſe miſſitaret: quod ſi Lacedæmoni ſe amicum, & Græciæ benevolum declararet; viciſſim ſe quoque omni ſtudio amicitiam cum eo culturum. Sin deprehenſus fuerit, inſidias nobis facere; non eſt quod ſe exiſtimet me amicum habiturum, etiamſi permultas ab eo litteras accipiam.

4. Equidem hac etiam in parte Ageſilaum laudo, quod, ut Græcis placeret, oblatam à rege neceſſitudinem hoſpitii ſit aſpernatus. Nec minus illud admiror, quod non uter eſſet opulentior, ac pluribus imperaret, ei majores eſſe gerendos ſpiritus arbitrarctur: ſed qui tum ipſe melior eſſet, tum in meliores imperium haberet.

5. Laudo & providentiam ipſius, quod quum utile duceret Græciæ, quamplurimos ſatrapas à rege deficere; non vel à muneribus, vel à regis potentia victus ſit, ut ei hoſpitio jungi vellet: ſed omni ſtudio caverit, ne fidem iis violaret, qui à rege deficere cogitabant.

6. Et quis in ipſo non hoc quoque miretur? Exiſtimabat rex Perſicus,

Πέρσης νομίζων, ἂν χρήματα πλεῖστα ἔχῃ, πάνθ' ὑφ' ἑαυτῷ ποιήσεσθαι, διὰ τοῦτο πᾶν μὲν τὸ ἐν ἀνθρώποις χρυσίον, πᾶν δὲ τὸ ἀργύριον, πάντα δὲ τὰ πολυτελέστατα ἐπειρᾶτο πρὸς ἑαυτὸν ἀθροίζειν. ὁ δὲ οὕτως ἀντεσκευάσατο τὸν οἶκον, ὥστε τούτων μηδενὸς προσδεῖσθαι.

ζ'. Εἰ δέ τις ταῦτα ἀπιστεῖ, ἰδέτω μὲν οἵα οἰκία ἤρκει αὐτῷ, θεάσθω δὲ τὰς θύρας αὐτοῦ. εἰκάσειε γὰρ ἄν τις ἔτι ταύτας ἐκείνας εἶναι, ἅσπερ Ἀριστόδημος ὁ Ἡρακλέους, ὅτε κατῆλθε, λαβὼν ἐπεστήσατο. πειράσθω δὲ θεάσασθαι τὴν ἔνδον κατασκευήν. ἐννοησάτω δέ, ὡς ἐθοίναζεν ἐν ταῖς θυσίαις. ἀκουσάτω δέ, ὡς ἐπὶ πολιτικοῦ κανάθρου κατῄει εἰς Ἀμύκλας.

η'. Τοιγαροῦν οὕτως ἐφαρμόσας τὰς δαπάνας ταῖς προσόδοις, οὐδὲν ἠναγκάζετο χρημάτων ἕνεκα ἄδικον πράττειν. καίτοι καλὸν μὲν δοκεῖ εἶναι, τείχη ἀνάλωτα ἡττᾶσθαι ὑπὸ πολεμίων· πολὺ μέντοι ἔγωγε κάλλιον κρίνω, τὸ τὴν αὑτοῦ ψυχὴν ἀνάλωτον κατασκευάσαι καὶ ὑπὸ χρημάτων, καὶ ὑπὸ ἡδονῶν, καὶ ὑπὸ φόβου.

ΚΕΦ.

Perſicus, ſe, ſi ampliſſimas pecunias haberet, omnia redacturum in poteſtatem ſuam: ideoque quidquid eſſet inter homines auri, quidquid argenti, quidquid maximi pretii rerum, id totum ad ſe colligere nitebatur. At Ageſilaus contra, ſic domum ſuam inſtituerat, ut horum nullo egeret.

7. Quod ſi quis fidem nobis non habet, is velim adſpiciat, qualis ei domus ſuffecerit, atque etiam fores intueatur. Nam ſuſpicari quis poſſit, has adhuc illas ipſas eſſe, quas Ariſtodemus Herculis filius, in patriam reverſus exſtruxerit. Idem domeſticam ſupellectilem contempletur. Quo pacto in ſacrificiis epularetur, ſecum ipſe cogitet. Audiat eum Amyclas in canathro civico profectum eſſe.

8. Quum ſumtus ad proventus ita accommodaret, injuſti nil cogebatur pecuniarum cauſſa facere. Præclarum quiddam eſſe putatur, inexpugnabiles muros ab hoſtibus ſuperari: verum ego multo præclarius eſſe judico, parare animum ſuum, ut à pecuniis, voluptatibus, metu ſit inexpugnabilis.

CAP.

ΚΕΦ. θʹ.

Αλλὰ μὴν ἐρῶ γε, ὡς καὶ τὸν τρόπον ἀντεστήσατο τῇ τοῦ Πέρσου ἀλαζονείᾳ. πρῶτον γὰρ, ὁ μὲν τῷ σπανίως ὁρᾶσθαι ἐσεμνύνετο, Αγησίλαος δὲ τῷ ἀεὶ ἐμφανὴς εἶναι ἠγάλλετο· νομίζων, αἰσχρουργίᾳ μὲν τὸ ἀφανίζεσθαι πρέπειν, τῷ δὲ εἰς κάλλος βίῳ τὸ φῶς μᾶλλον κόσμον παρέχειν.

βʹ. Επειτα δὲ ὁ μὲν τῷ δυσπρόσοδος εἶναι ἐσεμνύνετο, ὁ δὲ τῷ πᾶσιν εὐπρόσοδος εἶναι ἔχαιρε. καὶ ὁ μὲν ἡβρύνετο τῷ βραδέως διαπράττειν, ὁ δὲ τότε μάλιστα ἔχαιρεν, ὁπόταν τάχιστα τυχόντας, ὧν δέοιντο, ἀποπέμποι.

γʹ. Αλλὰ μὴν καὶ τὴν εὐπάθειαν ὅσῳ ῥᾴονα καὶ εὐπορωτέραν Αγησίλαος ἐπετήδευσεν, ἄξιον κατανοῆσαι. τῷ μὲν γὰρ Πέρσῃ πᾶσαν γῆν περιέρχονται

μαστεύ-

CAP. IX.

Equidem exponam, quo pacto etiam moribus Perſico faſtui ſit adverſatus. Primum Rex Perſicus auctoritatem ſibi quærebat ex eo, quod raro conſpiceretur: Ageſilaus eo ipſo delectabatur, quod ſemper hominum in conſpectu verſaretur. Exiſtimabat enim, decere vitam facinoroſam, ut in obſcuro lateret: honeſtæ vero, lucem ipſam majus ornamentum conciliare.

2. Deinde gravitatem ille captabat ex eo quod difficilis ad ipſum acceſſus eſſet: hic gaudium ex eo, quod facilis aditus univerſis ad ſe pateret. Putabat ille ſplendidum eſſe, quod negotia tardius conficeret: hic maxime tum lætabatur, quum homines id quod cupiebant, celerrime conſequutos dimitteret.

3. Operæpretium eſt etiam conſiderare, quanto faciliorem ac parabiliorem voluptatem Ageſilaus conſectaretur. Sunt enim Perſico regi, qui terram univerſam circum-

μαστεύοντες, τί ἂν ἡδέως πίοι· μυρίοι δὲ τεχνῶνται τί ἂν ἡδέως φάγοι· ὅπως γε μὴν καταδάρθοι, οὐδ᾽ ἂν εἴποι τις ὅσα πραγματεύονται. Ἀγησίλαος δὲ διὰ τὸ φιλόπονος εἶναι, πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν· εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι, πᾶς τόπος ἱκανὸς ἦν αὐτῷ.

δ΄. Καὶ ταῦτα οὐ μόνον πράττων ἔχαιρεν, ἀλλὰ καὶ ἐνθυμούμενος ἠγάλλετο, ὅτι αὐτὸς μὲν ἐν μέσαις ταῖς εὐφροσύναις ἀναστρέφοιτο· τὸν δὲ βάρβαρον ἑώρα, εἰ μέλλοι ἀλύπως βιώσεσθαι, συνελκυστέον αὐτῷ ἀπὸ περάτων τῆς γῆς τὰ τέρψοντα.

ε΄. Εὔφραινον δὲ καὶ τάδε, ὅτι αὐτὸς μὲν ᾔδει τῇ τῶν θεῶν κατασκευῇ δυνάμενος ἀλύπως χρῆσθαι· τὸν δὲ ἑώρα φεύγοντα μὲν θάλπη, φεύγοντα δὲ ψύχη, δι᾽ ἀσθένειαν ψυχῆς, οὐκ ἀνδρῶν ἀγαθῶν ἀλλὰ θηρίων τῶν ἀσθενεστάτων βίον μιμούμενον.

ϛ΄. Ἐκεῖνό

circumeunt, & quid cum voluptate bibat, inveſtigant; innumeri alii, quo cum voluptate veſcatur, excogitant: ut dormiat, dici non poteſt, quam multa moliantur. Ageſilaus vero, quod patiens laboris eſſet, quidquid aderat, cum voluptate bibebat: quidquid oblatum forte fuiſſet, cum voluptate comedebat: ut ſuaviter ſomno frueretur, quivis ei locus idoneus erat.

4. Atque hæc ſe facere non modo gaudebat, ſed etiam exſultabat lætitia, quoties cogitaret, ſe quidem verſari mediis in voluptatibus: illum vero barbarum videret, ſiquidem abſque dolore vellet vivere, neceſſe habere, ut ab extremis terræ finibus ea comportaret, de quibus voluptatem capturus eſſet.

5. Augebant ei lætitiam & illa, quod ſe quidem ſciret abſque animi ægritudine poſſe divina [tempeſtatum] diſpoſitione uti: illum vero videret æſtus & frigora fugere, ac propter imbecillitatẽ animi non fortium virorum, ſed debiliſſimarum beſtiarum vitã imitari.

6. Hoc

ϛʹ. Ἐκεῖνό γε μὴν πῶς οὐ καλὸν καὶ μεγαλόγνωμον, τὸ αὐτὸν μὲν ἀνδρὸς ἔργοις καὶ κτήμασι κοσμεῖν τὸν ἑαυτοῦ οἶκον, κύνας τε πολλοὺς θηρευτὰς, καὶ ἵππους πολεμιστηρίους τρέφοντα· Κυνίσκαν δὲ ἀδελφὴν οὖσαν πεῖσαι ἁρματοτροφεῖν, καὶ ἐπιδεῖξαι νικώσης αὐτῆς, ὅτι τὸ θρέμμα τοῦτο οὐκ ἀνδραγαθίας, ἀλλὰ πλούτου ἐπίδειγμά ἐστι;

ζʹ. Τόδε γε μὴν πῶς οὐ σαφῶς πρὸς τὸ γενναῖον ἔγνω, ὅτι ἅρματι μὲν νικήσας τοὺς ἰδιώτας, *οὐδὲν ὀνομαστότερος ἂν γένοιτο· εἰ δὲ φίλην μὲν πάντων μάλιστα τὴν πόλιν ἔχοι, πλείστους δὲ φίλους καὶ ἀρίστους ἀνὰ πᾶσαν τὴν γῆν κέκτηται, νικῴη δὲ τὴν μὲν πατρίδα καὶ τοὺς ἑταίρους εὐεργετῶν, τοὺς δὲ ἀντιπάλους τιμωρούμενος, ὅτι ὄντως ἂν εἴη νικηφόρος τῶν καλλίστων καὶ μεγαλοπρεπεστάτων ἀγωνισμάτων, καὶ ὀνομαστότατος καὶ ζῶν καὶ τελευτήσας γένοιτ' ἄν;

6. Hoc quidem certe qui non præclarum ac magnanimum erat, quod quum ipſe factis ac rebus ad virum pertinentibus domum ſuam ornaret, multoſque canes venaticos, & equos ad bellum idoneos aleret; Cyniſcam ſororem ad agendos currus alere jumenta perſuaſerit, eaque vincente demonſtrarit, his alendis nullum edi fortitudinis ſpecimen, ſed opes duntaxat oſtentari?

7. Jam vero quis neget hoc animo generoſo convenire, quod cenſuit, hominibus privatis curru victis, nihilo ſe clariorem fieri: at ſi patriam haberet amiciſſimam, amicos plurimos optimoſque per univerſum terrarum orbem comparaſſet, patriam & ſodales beneficiis, adverſarios ulciſcendo ſuperaſſet; reabſe pulcherrimis ac magnificentiſſimis in certaminibus victorem ſe futurum, adeoque clariſſimum nomen, non ſolum ſuperſtitem, ſed etiam à morte conſequuturum?

ΚΕΦ. ι'.

ΕΓΩ μὲν οὖν τοιαῦτα ἐπαινῶ Ἀγησίλαον. Ταῦτα γὰρ οὐχ ὥσπερ εἰ θησαυρῷ τις ἐντύχοι, πλουσιώτερος μὲν ἂν εἴη, οἰκονομικώτερος δὲ οὐδὲν ἄν· καὶ εἰ νόσου δὲ πολεμίοις ἐμπεσούσης κρατήσειεν, εὐτυχέστερος μὲν ἂν εἴη, στρατηγικώτερος δὲ οὐδὲν ἄν. ὁ δὲ καρτερίᾳ μὲν προστεύων, ἔνθα πονεῖν καιρός, ἀλκῇ δὲ, ὅπου ἀνδρείας ἀγὼν, γνώμῃ δὲ, ὅπου βουλῆς ἔργον, οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀνὴρ ἀγαθὸς παντελῶς ἂν νομίζεσθαι.

β'. Εἰ δὲ καλὸν εὕρημα ἀνθρώποις στάθμη καὶ κανὼν πρὸς τὸ ἀγαθὰ ἐργάζεσθαι, καλὸν ἄν μοι δοκεῖ [τῆς εἰ)] ἡ Ἀγησιλάου ἀρετὴ παράδειγμα γενέσθαι τοῖς ἀνδραγαθίαν ἀσκεῖν βουλομένοις. τίς γὰρ ἂν ἢ θεοσεβῆ μιμούμενος, ἀνόσιος γένοιτο· ἢ δίκαιον, ἄδικος· ἢ σώφρονα, ὑβριστής· ἢ ἐγκρατῆ, ἀκρα-

CAP. X.

OB res igitur hujuſmodi laudo equidem Ageſilaum. Hæc enim non ita ſunt, veluti ſi quis theſaurum forte reperiat, opulentior quidem efficitur, non tamen adminiſtrandæ rei familiaris peritior: vel ſi morbo hoſtes invadente victoria potiatur, felicior quidem eſſe poteſt, nihilo tamen arte imperatoria inſtructior. Qui ſcilicet tolerantia laborum præſtat aliis, ubi res ita poſtulat; & fortitudine, ubi agendum eſt fortiter; & judicio, quum conſilio quid ſuſcipiendum eſt; is mihi quidem videtur optimo jure vir omnino bonus eſſe putandus.

2. Quod ſi trutina & norma pro invento utili mortalibus haberi debent, ad efficiunda præclara opera; etiam mihi egregium exemplum Ageſilai virtus eſſe videtur, iis qui fortitudinem exercere volunt. Nam quis impius fiat, ſi religioſum imitetur? quis injuſtus, ſi juſtum? quis petulans, ſi modeſtum? quis intemperans, ſi

ἀκρατής; καὶ γὰρ δὴ οὐχ οὕτως ἐπὶ τῷ ἄλλων βασιλεύειν, ὡς ἐπὶ τῷ ἑαυτοῦ ἄρχειν ἐμεγαλαύετο· οὐδ᾽ ἐπὶ τῷ πρὸς τοὺς πολεμίους, ἀλλ᾽ ἐπὶ τῷ πρὸς πᾶσαν ἀρετὴν ἡγεῖσθαι τοῖς πολίταις.

γ'. Ἀλλὰ γὰρ μὴ ὅτι τετελευτηκὼς ἐπαινεῖται, τούτου ἕνεκα θρῆνόν τις τοῦτον τὸν λόγον νομισάτω, ἀλλὰ πολὺ μᾶλλον ἐγκώμιον. πρῶτον μὲν γὰρ ἅπερ ζῶν ἤκουε, ταῦτα καὶ νῦν λέγεται περὶ αὐτοῦ. ἔπειτα δὲ, τί καὶ πλέον θρήνου ἄπεστιν, ἢ βίος τε εὐκλεὴς, καὶ θάνατος ὡραῖος; ἐγκωμίων δὲ τί ἀξιώτερον, ἢ νῖκαί τε αἱ κάλλισται, καὶ ἔργα τὰ πλείστου ἄξια;

δ'. Δικαίως δ᾽ ἂν ἐκεῖνός γε μακαρίζοιτο, ὃς εὐθὺς μὲν ἐκ παιδὸς ἐρασθεὶς τοῦ εὐκλεὴς γενέσθαι, ἔτυχε τούτου μάλιστα τῶν καθ᾽ ἑαυτόν· φιλοτιμότατος δὲ πεφυκὼς, ἀήττητος διετέλησεν, ἐπεὶ βασιλεὺς ἐγένετο. ἀφικόμενος δὲ ἐπὶ τὸ μήκιστον ἀνθρωπίνου αἰῶνος, ἀναμάρτητος ἐτελεύτησε καὶ περὶ

ſi temperantem? Ageſilaus enim non tam eo quod aliorum rex eſſet, quam quod imperare ſibi poſſet, gloriabatur: neque tam quod adverſus hoſtes, quam quod ad omnem virtutem civibus ſuis dux eſſet.

3. Enimvero quod à morte laudatur, non idcirco quiſquam hanc orationem putet eſſe næniam, ſed celebrationem potius exiſtimet. Nam primum de ipſo commemorantur ea quæ de vivo prædicabantur. Deinde quid à lamentatione longius abeſt, quam glorioſa vita, & mors decora? Quid encomiis item convenientius, quam victoriæ pulcherrimæ, maximique momenti facinora?

4. Ac jure quidem ille beatus prædicetur, qui quum ſtatim à puero cupiditate famæ incenſus eſſet, illam conſecutus eſt magis, quam omnes ætatis ſuæ homines: qui quum honoris ac dignitatis à natura imprimis eſſet adpetens, ex quo rex factus fuit, perpetuo invictus exſtitit. Quumque longiſſimam vitæ humanæ metam attigiſſet, inculpatus obiit, tum ab iis

ἀεὶ τούτοις ὧν ἡγεῖτο, καὶ πρὸς ἐκείνοις οἷς ἐπολέμει.

ΚΕΦ. ια'.

Βούλομαι δὲ καὶ ἐν κεφαλαίοις ἐπανελθεῖν τὴν ἀρετὴν αὐτοῦ, ὡς ἂν ὁ ἔπαινος εὐμνημονεστέρως ἔχοι. Ἀγησίλαος μὲν ἱερὰ καὶ τὰ ἐν τοῖς πολεμίοις ἐσέβετο, ἡγούμενος τοὺς θεοὺς οὐχ ἧττον ἐν τῇ πολεμίᾳ ἀξιῶσαι ἢ ἐν τῇ φιλίᾳ συμμάχους ποιεῖσθαι. ἱκέτας δὲ θεῶν οὐδὲ ἐχθροὺς ἐβιάζετο, νομίζων ἄλογον εἶναι τοὺς μὲν ἐξ ἱερῶν κλέπτοντας, ἱεροσύλους καλεῖν· τοὺς δὲ βωμῶν ἱκέτας ἀποσπῶντας, εὐσεβεῖς ἡγεῖσθαι.

β'. Εκεῖνός γε μὴν ὑμνῶν οὔποτ' ἔληγεν, ὡς τοὺς θεοὺς οἴοιτο οὐδὲν ἧττον ὁσίοις ἔργοις ἢ ἁγνοῖς ἱεροῖς ἥδεσθαι. ἀλλὰ μὴν καὶ ὁπότε εὐτυχοίη, οὐκ ἀνθρώπων ὑπερεφρόνει, ἀλλὰ θεοῖς χάριν ᾔδει. καὶ θαρρῶν πλείονα ἔθυσεν, ἢ ὀκνῶν

iis quibus præerat, tum ab iis adverſus quos bellum gerebat.

CAP. XI.

Libet autem virtutem ejus ſummatim repetere, quo facilius hæc laudatio memoriæ inhæreat. Venerabatur Ageſilaus delubra etiam in hoſtico: quod exiſtimaret, Deorum auxilia non minus in hoſtili quam pacato ſolo quærenda eſſe. Quod ſi qui Diis eſſent ſupplices, eos non violabat, ne ſi hoſtes quidem eſſent; quod abſurdum eſſe duceret, eos qui è fanis aliquid furto ſubtrahant, ſacrilegos adpellare; qui autem ſupplices ab aris avellant, pro religioſis habere.

2. Nunquam hymnos dicere deſinebat, quod Deos arbitraretur non minus factis religioſis, quam ſacrificiis puris delectari. Quinetiam quoties fortuna utebatur proſpera, non homines contemnebat, ſed Diis habebat gratias: & fiduciæ plenus, plures mactabat hoſtias, quam rebus

οἰκνῶν ηὔχετο. εἴθιστο δὲ φοβούμενος μὲν, ἱλαρὸς φαίνεσθαι, εὐτυχῶν δὲ, πρᾷος εἶναι.

γ΄. Τῶν γε μὴν φίλων οὐ τοὺς δυνατωτάτους ἀλλὰ τοὺς προθυμοτάτους μάλιστα ἠσπάζετο. ἐμίσει δὲ οὐκ εἴ τις κακῶς πάσχων ἠμύνετο, ἀλλ' εἴ τις εὐεργετούμενος ἀχάριστος φαίνοιτο. ἔχαιρε δὲ τοὺς μὲν αἰσχροκερδεῖς πένητας ὁρῶν, τοὺς δὲ δικαίους πλουσίους ποιῶν, βουλόμενος τὴν δικαιοσύνην τῆς ἀδικίας κερδαλεωτέραν καθιστάναι.

δ΄. Ησκει δὲ ἐξομιλεῖν μὲν παντοδαποῖς, χρῆσθαι δὲ τοῖς ἀγαθοῖς. ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινὰς ἀκούοι, οὐχ ἧττον ᾤετο καταμανθάνειν τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. καὶ τοὺς μὲν ὑπὸ φίλων ἐξαπατωμένους οὐκ ἔψεγε, τοὺς δὲ ὑπὸ πολεμίων, πάμπολυ κατεμέμφετο. καὶ τὸ μὲν ἀπιστοῦντας ἐξαπατᾶν σοφὸν ἔκρινε, τὸ δὲ πιστεύοντας, ἀνόσιον.

ε΄. Επαινού-

bus ſuis metuens voveret. Et conſueſecerat ſe, ut quoties in metu eſſet, hilaritatem præ ſe ferret: rebus contra ſecundis humilis eſſet.

3. Ex amicis, non eos qui plurimum poterant, ſed qui promptiſſimi erant, complectebatur. Odio proſequebatur non eum qui læſus ſe ulciſcebatur: ſed qui beneficiis adfectus, ingratum ſe declarabat. Erat illi voluptati, turpis quidem lucri avidos, pauperes videre; juſtos autem collocupletare. Quod efficere cuperet ut plus ex juſtitia, quam ex injuſtitia, lucri perciperetur.

4. Cum hominibus cujuſcunque ordinis verſari, bonis uti ſolebat. Quod ſi quos aliquando vituperantes, vel laudantes alios audiret; exiſtimabat, non minus illorum ſe mores agnoſcere, qui ea proferebant; quam eorum, de quibus diceretur. Quotquot ab amicis circumvenirentur, non vituperabat: qui autem ab hoſtibus, eos maximopere reprehendebat. Diffidentes fallere, ſapientis eſſe: credentes, nefarium putabat.

5. Si

ε'. Ἐπαινούμενος δὲ ἔχαιρεν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων τὰ μὴ ἀρεστά, καὶ τῶν παῤῥησιαζομένων οὐδένα ἤχθραινε· τοὺς δὲ κρυψίνους ὥσπερ ἐνέδρας ἐφυλάττετο. τοὺς γε μὴν διαβόλους μᾶλλον, ἢ τοὺς κλέπτας ἐμίσει, μείζω ζημίαν ἡγούμενος, φίλων ἢ χρημάτων στερίσκεσθαι.

ϛ'. Καὶ τὰς μὲν τῶν ἰδιωτῶν ἁμαρτίας πράως ἔφερε, τὰς δὲ τῶν ἀρχόντων μεγάλας ἦγε· κρίνων, τοὺς μὲν ὀλίγα, τοὺς δὲ πολλὰ κακῶς διατιθέναι. τῇ δὲ βασιλείᾳ προσήκειν ἐνόμισεν οὐ ῥᾳδιουργίαν, ἀλλὰ καλοκαγαθίαν.

ζ'. Καὶ τοῦ μὲν σώματος εἰκόνα στήσασθαι ἀπέσχετο, πολλῶν αὐτῷ τοῦτο δωρεῖσθαι θελόντων· τῆς δὲ ψυχῆς οὐδέποτε ἐπαύετο μνημεῖα διαπονούμενος· ἡγούμενος τὸ μὲν, ἀνδριαντοποιῶν, τὸ δὲ, αὐτοῦ ἔργον εἶναι· καὶ τὸ μὲν, πλουσίων, τὸ δὲ, τῶν ἀγαθῶν.

η'. Χρήμασί γε μὴν οὐ μόνον δικαίως, ἀλλὰ καὶ ἐλευθερίως ἐχρῆτο· τῷ μὲν δικαίῳ ἀρκεῖν ἡγούμενος τὸ

ἐᾷν

5. Si ab iis laudaretur, qui vellent etiam vituperare quæ diſplicerent, gaudebat; neque cuiquam illorum qui libertate in dicendo uterentur, infeſtus erat: ab iis, tanquam ab inſidiis, ſibi cavens, qui mentem ſuam aſtute celarent. Delatores majori proſequebatur odio, quam fures: quod majus eſſe detrimentum duceret, amicis quam rebus ſuis ſpoliari.

6. Privatorum hominum errata miti ferebat animo, principum vero, magni eſſe momenti cenſebat: quod ab illis exigua proficiſci, ab his magna mala, judicaret. Regno non deſidiam ſed ſtrenuitatem convenire putabat.

7. A ſtatuenda corporis imagine abſtinebat, multis in hoc ei gratificari volentibus: animi vero monumenta nunquam elaborare deſinebat. Arbitrabatur enim illud ſtatuarii, hoc ſui muneris eſſe: ac rurſus illud divitum, hoc bonorum.

8. Facultatibus non juſte tantum, ſed etiam liberaliter utebatur: quod homini juſto ſatis eſſe duceret,

ἐᾶν τὰ ἀλλότρια, τῷ δὲ ἐλευθερίῳ καὶ τὰ ἑαυτοῦ προσωφελητέον εἶναι. ἀεὶ δὲ δεισιδαίμων ἦν, νομίζων τοὺς μὲν καλῶς ζῶντας, οὔπω εὐδαίμονας· τοὺς δ' εὐκλεῶς τετελευτηκότας, ἤδη μακαρίους.

θ΄. Μείζω δὲ συμφορὰν ἔκρινε τὸ, γιγνώσκοντα, ἢ ἀγνοοῦντα, ἀμελεῖν τῶν ἀγαθῶν. δόξης δὲ οὐδεμιᾶς ἤρα, ἧς οὐκ ἐξεπονεῖτο ἰδίᾳ. μετ' ὀλίγων δέ μοι ἐδόκει ἀνθρώπων οὐ καρτερίαν τὴν ἀρετὴν, ἀλλ' εὐπάθειαν νομίζειν. ἐπαινούμενος γοῦν ἔχαιρε μᾶλλον, ἢ χρήματα κτώμενος. ἀλλὰ μὴν ἀνδρείαν γε τὸ πλέον μετ' εὐβουλίας, ἢ μετὰ κινδύνων ἐπεδείκνυτο· καὶ σοφίαν ἔργῳ μᾶλλον ἢ λόγῳ ἤσκει.

ι΄. Πρᾳότατός γε μὴν φίλοις ὢν, ἐχθροῖς φοβερώτατος ἦν· καὶ πόνοις μάλιστα ἀντέχων, ἑταίροις ἥδιστα ὑπεῖκε, καλῶν ἔργων μᾶλλον ἢ τῶν καλῶν σωμάτων ἐπιθυμῶν. ἔν γε μὴν ταῖς εὐπραξίαις σωφρονεῖν ἐπιστάμενος, ἐν τοῖς δεινοῖς εὐθαρσὴς ἐδύνατο εἶναι.

ια΄. Καὶ

duceret, ab alienis abſtinere, liberalem putaret etiam ſua debere hominum ad utilitatem conferre. Semper religioſus erat, & honeſte quidem viventes, necdum felices; qui vero glorioſe mortem oppetiiſſent, eos jam beatos exiſtimabat.

9. Majorem eſſe calamitatem putabat, ſcientem, quam inſcium, res præclaras negligere. Gloriæ nullius cupiditate ducebatur, quam non ſuis ſibi laboribus compararet. Cum paucis hominibus videbatur mihi judicare, virtutem non tolerantiam eſſe, ſed voluptatem. Si laudaretur, magis gaudebat quam ſi opes adquiſiviſſet. Fortitudinem plerumque potius cum conſilio quam periculis oſtendebat: & ſapientiam re potius quam verbis exercebat.

10. In amicos mitiſſimus, hoſtibus maximo terrori erat. Quum labores egregie toleraret, ſodalibus tamen libentiſſime cedebat, magis actiones pulchras quam pulchra corpora deſiderans. Norat modeſte rebus uti ſecundis, adverſis ſpei plenus eſſe poterat.

ια'. Καὶ τὸ εὔχαρι οὐ σκώμμασιν ἀλλὰ τρόπῳ ἐπετήδευε. καὶ τὸ μεγαλόφρον οὐ σὺν ὕβρει ἀλλὰ σὺν γνώμῃ ἐχρῆτο. τῶν γοῦν ὑπεραύχων καταφρονῶν, τῶν μετρίων ταπεινότερος ἦν. καὶ γὰρ ἐκαλλωπίζετο τῇ μὲν ἀμφὶ τὸ σῶμα φαυλότητι, τῷ δ' ἀμφὶ τὸ στράτευμα κόσμῳ, τῷ δ' αὐτὸς ὡς ἐλαχίστων δεῖσθαι, τῷ δὲ τοὺς φίλους ὡς πλεῖστα ὠφελεῖν.

ιβ'. Πρὸς δὲ τούτοις, βαρύτατος μὲν ἀνταγωνιστὴς ἦν, κουφότατος δὲ κρατήσας. ἐχθροῖς μὲν δυσεξαπάτητος, φίλοις δὲ εὐπαραπειστότατος. αἰεὶ δὲ τιθεὶς τὰ τῶν φίλων ἀσφαλῶς, αἰεὶ ἀμαυροῦν τὰ τῶν πολεμίων ἔργον εἶχεν.

ιγ'. Εκεῖνον οἱ μὲν συγγενεῖς, φιλοκηδεμόνα ἐκάλουν· οἱ δὲ χρώμενοι, ἀπροφάσιστον· οἱ δ' ὑπουργήσαντές τι, μνήμονα· οἱ δ' ἀδικούμενοι, ἐπίκουρον· οἵ γε μὴν συγκινδυνεύοντες, μετὰ θεοὺς σωτῆρα.

ιδ'. Δοκεῖ

11. Comitatem non jocis, ſed moribus ſtudebat adſequi. Animi magnitudine non cum injuria, ſed judicio utebatur. Itaque ſpretis jactabundis, etiam mediocribus erat humilior. Etenim gloriam ſibi captabat ex vili corporis cultu, ex pulchro exercitus apparatu, ex eo quod ipſe quam pauciſſimis egeret, amicis quamplurimum prodeſſet.

12. Præterea dum certaret, graviſſimus adverſarius: ubi vero victoria potitus eſſet, admodum facilem ſe præbuit. Idem ab hoſtibus difficulter circumveniri poterat, ab amicis facillime falſa perſuaſione decipiebatur. Semper hoc ſibi propoſitum habebat, ut res amicorum in tuto locaret, hoſtium labefactatas everteret.

13. Illum cognati nominabant propinquorum ſtudioſum; qui opera ejus utebantur, nihil recuſantem: qui aliquid officii exhibuiſſent, memorem: per injuriam læſi, opitulatorem: in eodem periculo conſtituti, poſt Deos ſervatorem.

14. Vide-

ιδ΄. Δοκεῖ δ' ἔμοιγε καὶ τόδε μόνος ἀνθρώπων ἐπιδεῖξαι, ὅτι ἡ μὲν τοῦ σώματος ἰσχὺς γηράσκει, ἡ δὲ τῆς ψυχῆς ῥώμη τῶν ἀγαθῶν ἀνδρῶν ἀγήρατός ἐστιν. ἐκεῖνος γοῦν οὐκ ἀπεῖπε μεγάλην καὶ καλὴν ἐφιέμενος..... τὸ σῶμα φέρειν ἠδύνατο τὴν τῆς ψυχῆς αὐτοῦ ῥώμην.

ιε΄. Τοιγαροῦν ποίας οὐ νεότητος κρεῖττον τὸ ἐκείνου γῆρας ἐφάνη; τίς μὲν γὰρ τοῖς ἐχθροῖς ἀκμάζων οὕτω φοβερὸς ἦν, ὡς Ἀγησίλαος τὸ μήκιστον τοῦ αἰῶνος ἔχων; τίνος δ' ἐκποδὼν γενομένου μᾶλλον ἥσθησαν οἱ πολέμιοι, ἢ Ἀγησιλάου, καίπερ γηραιοῦ τελευτήσαντος; τίς δὲ συμμάχοις θάρσος παρέσχεν, ὅσον Ἀγησίλαος, καίπερ ἤδη πρὸς τῷ στόματι τοῦ βίου ὤν; τί δὲ νέοι φίλοι πλέον ἐπόθησαν, ἢ Ἀγησίλαον γηραιὸν ἀποθανόντα;

ιϛ΄. Οὕτω δὲ τελέως ὁ ἀνὴρ τῇ πατρίδι ὠφέλιμος ὢν διεγένετο, ὡς καὶ τετελευτηκὼς ἤδη, ἔτι μεγαλείως ὠφελῶν τὴν πόλιν εἰς τὴν ἀΐδιον οἴκησιν κατηγάγετο· μνημεῖα μὲν τῆς ἑαυτοῦ ἀρετῆς

ἀνὰ

14. Videtur idem mihi ſolus inter homines declaraſſe, corporis quidem robur ſeneſcere, ſed animi vires in viris fortibus ſenectutis expertes eſſe. Nunquam ille ita deſpondit, quominus magnæ ac pulchræ virtutis ſtudio duceretur, quamdiu corpus ferre robur animi poterat.

15. Qua igitur juventute non ipſius ſenecta præſtare viſa fuit? Quis ætate vegeta hoſtibus adeo fuit terrori, ut Ageſilaus extrema in ſenectute? Quonam ſublato majorem hoſtes voluptatem cepere, quam Ageſilao, tametſi ſenex admodum vita fungeretur? Quis tantum fiduciæ ſociis præbuit, quantum Ageſilaus, licet ad vitæ oſtium perveniſſet? Quid amici juvenes magis deſiderarunt, quam Ageſilaum, qui ſenex è vivis exceſſerat?

16. Is adeo perfecte ſemper utilis patriæ fuit, ut etiam jam defunctus, plurimum adhuc rempublicam juvans, ad illud æternum domicilium diverterit. Monumenta quidem virtutis ſuæ

ἀνὰ πᾶσαν τὴν γῆν κτησάμενος, τῆς δὲ βασιλικῆς ταφῆς ἐν τῇ πατρίδι τυχών.

ΞΕΝΟ-

veluti per univerſum terrarum orbem conſequutus fuit, ita ſepulturam in patria regiam obtinuit.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ
ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΠΟΛΙΤΕΙΑ.

ΚΕΦ. α΄.

ΑΛΛ' ἐγὼ ἐννοήσας ποτὲ, ὡς ἡ Σπάρτη τῶν ὀλιγανθρωποτάτων πόλεων οὖσα, δυνατωτάτη τε καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη· ἐθαύμασα, ὅτῳ ποτὲ τρόπῳ τοῦτ' ἐγένετο. ἐπεὶ μέντοι κατενόησα τὰ ἐπιτηδεύματα τῶν Σπαρτιατῶν, οὐκέτι ἐθαύμαζον.

β΄. Λυκοῦργον μέντοι τὸν θέντα αὐτοῖς τοὺς νόμους, οἷς πειθόμενοι ηὐδαιμόνησαν, τοῦτον καὶ θαυμάζω, καὶ εἰς τὰ ἔσχατα μάλα σοφὸν ἡγοῦμαι. ἐκεῖνος γὰρ οὐ μιμησάμενος τὰς

XENOPHONTIS
LACEDÆMONIORUM RESPUBLICA.

CAP. I.

COGITANTI mihi aliquando Spartam, quum una ex urbibus minime populoſis ſit, nihilominus & potentiſſimam, & clariſſimam in Græcia exſtitiſſe; mirum videbatur, quonam modo id fieri potuerit. Sed poſtea quam Spartanorum inſtituta perſpexi; non amplius mirabar.

2. Lycurgum ſane, qui leges eis tulit, quibus parendo felices evaſere, non ſolum admiror; ſed etiam ſumme ſapientem fuiſſe arbitror. Nam is haudquaquam alias

τὰς ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία γνοὺς ταῖς πλείσταις, προέχουσαν εὐδαιμονίᾳ τὴν πατρίδα ἐπέδειξεν.

γʹ. Αὐτίκα γὰρ περὶ τεκνοποιΐας (ἵνα ἐξ ἀρχῆς ἄρξωμαι) οἱ μὲν ἄλλοι τὰς μελλούσας τίκτειν, καὶ καλῶς δοκούσας κόρας παιδεύεσθαι, καὶ σίτῳ ᾗ ἀνυστὸν μετριωτάτῳ τρέφουσι, καὶ ὄψῳ ᾗ δυνατὸν μικροτάτῳ. οἴνου γε μὴν ἢ πάμπαν ἀπεχόμεναι, ἢ ὑδαρεῖ χρώμεναι διάγουσι. ὥσπερ δὲ οἱ πολλοὶ τῶν τὰς τέχνας ἐχόντων ἑδραῖοί εἰσιν, οὕτω καὶ τὰς κόρας οἱ ἄλλοι Ἕλληνες ἠρεμιζούσας ἐριουργεῖν ἀξιοῦσι. τὰς μὲν οὕτω τρεφομένας πῶς χρὴ προσδοκῆσαι μεγαλεῖον ἄν τι γεννῆσαι;

δʹ. Ὁ δὲ Λυκοῦργος ἐσθῆτας μὲν καὶ δούλας παρέχειν ἱκανὰς ἡγήσατο εἶναι· ταῖς δ' ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιΐαν, πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου· ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ καὶ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε,

alias civitates imitatus, immo etiam contraria plurimis ſtatuens, ut patria ſua felicitate cæteris præſtaret, effecit.

3. Quippe ſtatim (ut ab ipſo principio rem ordiar) quod ſobolis procreationem adtinet, alii puellas, quæ pariture ſunt, & recte videntur educari, modico quam maxime fieri poteſt pane, ac prout licet obſonio pertenui alunt: & quidem eas ita regunt, ut à vino vel prorſus abſtineant, vel diluto utantur. Ut autem plerique opifices ſedentarii ſunt, ſic Græci cæteri puellas ſine omni motu lanificium exercere volunt. At quomodo poteſt expectari, ut quæ ſic educantur, inſigne quid pariant?

4. Lycurgus autem exiſtimabat, vel ipſas ancillas ad veſtem parandam ſufficere: ingenuarum munus in primis eſſe ratus, procreare liberos. Itaque primum non minus fœmineum ſexum habere corporis exercitia juſſit, quam maſculum. Deinde ſicut viris inter ſe certamina curſus & roboris inſtituit, ſic etiam fœminis: quod ſtatue-

ἐποίησε, νομίζων ἐξ ἀμφοτέρων ἰσχυρῶν καὶ τὰ ἔκγονα ἐῤῥωμενέστερα γίγνεσθαι.

έ. Επεί γε μὴν γυνὴ πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω. ἔθηκε γὰρ, αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δ' ἐξιόντα. οὕτω δὲ συνόντων, ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐῤῥωμενέστερα δὲ γίγνεσθαι * εἴ τι βλαστάνοιεν, οὕτω μᾶλλον, εἰ ἢ διάκοροι ἀλλήλων εἶεν.

ς'. Πρὸς δὲ τούτοις, καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκα ἄγεσθαι, ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρειν τῇ εὐγονίᾳ νομίζων.

ζ'. Εἴγε μέντοι συμβαίη γεραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλικούτους φυλάσσοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ τούτου ἐνόμισε. τῷ γὰρ πρεσβύτῃ ἐποίησεν, ὁποίου ἀνδρὸς σῶμά τε καὶ ψυχὴν

ſtatueret, ex utroque parente robuſto, etiam ſobolem robuſtiorem naſci.

5. Jam ubi ad virum accedit mulier, quod alios immodice videret initio cum uxoribus conſueſcere; hac etiam in parte quiddam diverſum ſtatuit. Quippe ſanxit pudorem eſſe, ut quis [ad uxorem] vel ingrediens, vel egrediens, conſpiceretur. Hoc modo ſi conſueſcant, majori eos erga ſe deſiderio teneri neceſſe eſt; & fœtus, ſi qui producantur, fieri robuſtiores, quam ſi ſatietas inter eos obrepat.

6. Præterea poteſtate ademta, ne quivis uxores ducerent, quum ipſis lubitum eſſet; juſſit, ut dum vigerent corpora, matrimonia contraherent, idque non minus ad rectam procreandi rationem conducere putabat.

7. Quod ſi uſuveniret, ut vetulus uxorem juvenculam haberet: quia complures in hac ætate videbat eſſe, qui uxores diligentiſſime cuſtodiant, etiam hac in parte contrarium quiddam ſtatuit. Juſſit enim, ut hic ſenex, eo viro, quem ob corporis & animi

χὴν ἀγασθείη, τοῦτον ἐπαγομένῳ τεκνοποιήσασθαι.

η'. Εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυμοίη, καὶ τούτῳ νόμιμον ἐποίησεν, ἥν τινα ἂν εὔτεκνον καὶ γενναίαν ὁρῴη, πείσαντα τὸν ἔχοντα, ἐκ ταύτης τεκνοποιεῖσθαι.

θ'. Καὶ πολλὰ μὲν τοιαῦτα συνεχώρει. αἵ τε γὰρ γυναῖκες διττοὺς οἴκους βούλονται κατέχειν, οἵ τε ἄνδρες ἀδελφοὺς τοῖς παισὶ προσλαμβάνειν, οἳ τοῦ μὲν γένους καὶ τῆς δυνάμεως κοινωνοῦσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται.

ι'. Περὶ μὲν δὴ τεκνοποιίας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις, εἴ τι διαφέροντας καὶ κατὰ μέγεθος καὶ κατ' ἰσχὺν ἄνδρας τῇ Σπάρτῃ ἀπετέλησεν, ὁ βουλόμενος ἐπισκοπείτω.

ΚΕΦ. β'.

ΕΓΩ μέντοι ἐπεὶ καὶ περὶ γενέσεως ἐξήγημαι, βούλομαι καὶ τὴν παιδείαν ἑκατέρων σαφηνίσαι. τῶν μὲν τοίνυν ἄλλων Ελλήνων οἱ φάσκοντες κάλλιστα τοὺς

υἱεῖς

mi dotes ſuſpiceret, ad uxorem adducto, ſobolem ſuſciperet.

8. Quod ſi quis fœminæ conjugium averſaretur, ac nihilominus præſtantium liberorum cupidus eſſet; etiam huic lege permiſit, ut quamcunque fœcundam & indolis generoſæ conſpexiſſet, perſuaſo ejus marito, prolem ex ea procrearet.

9. Atque hujuſmodi multa conceſſit. Etenim fœminæ binas domos occupant, & mariti earum liberis ſuis fratres adjungunt, qui in generis quidem ac virium ſocietatem veniunt, à facultatibus tamen excluduntur.

10. Hoc modo quum de procreatione ſobolis ſtatueret aliud quam cæteri, num Spartæ viros tam proceritate quam robore præſtantes produxerit; conſideret, qui volet.

CAP. II.

EQuidem quia de procreatione dixi, etiam utriuſque ſexus inſtitutionem exponam. Ex Græcis ergo cæteris ii qui rectiſſime

liberos

ὑεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα ξυνιῶσιν, εὐθὺς μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσι, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων, μαθησομένους καὶ γράμματα, καὶ μουσικὴν, καὶ τὰ ἐν παλαίστρᾳ. πρὸς δὲ τούτοις, τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνουσιν, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι· σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν.

β'. Ὁ δὲ Λυκοῦργος ἀντὶ μὲν τοῦ ἰδίᾳ * ἑκάστοις παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε καὶ * ἀθροίζειν τοὺς παῖδας, καὶ 'ἐπισκοποῦντα εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. ἔδωκεν αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὅτε δέοι· ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι.

γ'. Ἀντὶ

liberos ſuos inſtituere ſe aiunt, ubi primum pueri ea quæ dicuntur, intelligunt; mox ſervos eis pædagogos præficiunt, mox eos ad magiſtrorum ludos mittunt; ut & litteras, & muſicam, & quæ ad palæſtram pertinent, diſcant. Præterea puerorum pedes calceis teneriores reddunt, & corpora veſtium mutationibus ad mollitiem conſuefaciunt; cibi modum ventre metiuntur.

2. Lycurgus autem, pro eo quod illi ſeorſum ſingulis ſervos pædagogos præficiunt, virum eis præeſſe voluit, ex illorum numero, qui magiſtratus ſummos obeunt. Huic [à puerorum gubernatione] Pædonomi eſt inditum nomen, cui quidem poteſtatem plenam colligendi pueros conceſſit, & eoſdem puniendi graviter, inſpectanti, an quis nequiter agat. Eidem ex ephebis quoſdam, qui flagella geſtarent, adjunxit: ut quum res poſceret, pœnas pueris irrogarent. Quo factum, ut magnum verecundiæ, magnum in pueris obedientiæ ſtudium eſſet.

3. Pro

γ'. Αντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν, ἔταξεν ἀνυποδησίᾳ κρατύνειν· νομίζων, εἰ τοῦτ' ἀσκήσαιεν, πολὺ μὲν ῥᾷον ἂν ὄρθιάδε βαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν, καὶ πηδῆσαι, καὶ ἀναθορεῖν, καὶ δραμεῖν θᾶττον ἀνυπόδετον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον.

δ'. Καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι, ἐνόμισεν ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι· νομίζων οὕτω καὶ πρὸς ψύχη, καὶ πρὸς θάλπη ἄμεινον ἂν παρεσκευάσθαι.

ε'. Σῖτόν γε * μὴν ἔταξε τοσοῦτον ἔχοντα συμβουλεύειν τὸν ἄρρενα, ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν· νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἂν, εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα.

ϛ'. Καὶ

3. Pro eo vero, quod alii calceis pedes emollirent; juſſit ut nuditate pedes duriores efficerent. Exiſtimabat enim futurum, ſi ad hoc ſemet exercitarent, ut multo facilius ardua loca conſcenderent, per declivia tutius deſcenderent; exſilirent, proſilirent, currerent diſcalceati, ſi quidem pedes adſuefeciſſent, multo expeditius quam calceati.

4. Itidem pro eo, quod illi veſtibns ſeſe emollirent, ſtatuit ut ad unum ſe veſtimentum anno toto adſuefacerent: quod putaret hac ipſos ratione tum ad frigora tum calores rectius inſtructos fore.

5. Cibi tantum maſculo ſumendum cenſuit, ut præ repletione non gravetur, & penuriam tolerandi non ignarus ſit. Exiſtimabat enim, illos qui ſic inſtituerentur, magis, ubi uſus ita poſceret, labores ſine cibo toleraturos; magiſque futurum, ut ſi eſſet imperatum, ab eodem cibo longius ad tempus abſtinendo durarent, minus obſonii requirerent, quamvis eſcam denique facilius admitterent.

6. Præ-

ϛʹ. Καὶ ὑγιεινοτέρως δ' ἂν διάγειν, καὶ εἰς μῆκος ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν, μᾶλλον συλλαμβάνειν ἡγήσατο, ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ.

ζʹ. Ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν αὐτοῖς οὐκ ἔδωκε λαμβάνειν ὧν ἂν δέωνται, κλέπτειν δ' ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ, τι δοίη, ἐφῆκεν αὐτοῖς γε μηχανᾶσθαι τὴν τροφὴν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν.

ηʹ. Δῆλον δὲ, ὅτι τὸν μέλλοντα κλωπεύειν, καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ, καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δὴ πάντα δηλονότι μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν, καὶ πολεμικωτέρους, οὕτως ἐπαίδευσεν.

θʹ. Εἴποι δ' ἂν οὖν τις· τί δῆτα, εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλλε

6. Præterea putabat, alimentum, quod corpora gracilia potius efficeret, quam cibo dilataret, ad ſalubrius vivendum, & ad incrementum proceritatis, adjumenti plus adferre.

7. Ut autem à fame non nimium premerentur, non conceſſit eis, ut ſine negotio conſequerentur, quibus ipſis opus eſſet: ſed permiſit, ut ea furto ſubtraherent, quibus levari fames poſſet. Non tamen eum idcirco ipſis conceſſiſſe, ut artificioſa induſtria ſibi victum pararent, quia non haberet, quod aliud illis daret; neminem ignorare arbitror.

8. Nimirum patet, eum qui aliquid furto ſit ablaturus, neceſſe habere, ut noctu vigilet, interdiu fallat, inſidias locet, atque etiam exploratores paret, ſi quidem aliquid accipere velit. Quamobrem pueros ad hæc omnia condocefaciebat, quod eos ad paranda neceſſaria ſollertiores, adeoque bellicoſiores facere vellet.

9. Fortaſſe quis dixerit: Cur igitur, ſi quidem furari bonum quid eſſe arbitrabatur, multis eum ver-

βαλλε τῷ ἁλισκομένῳ; ὅτι, φημὶ ἐγώ, καὶ τἄλλα ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. κἀκεῖνοι οὖν τοὺς ἁλισκομένους, ὡς κακῶς κλέπτοντας, τιμωροῦνται.

ι'. Καὶ ὡς πλείστους δὴ ἁρπάσαι * τυροὺς παρ' Ὀρθίας καλὸν θείς, μαστιγοῦν τούτους ἄλλοις ἐπέταξε· τοῦτο δὲ δηλῶσαι καὶ ἐν τούτῳ βουλόμενος, ὅτι ἔστιν ὀλίγον χρόνον ἀλγήσαντα πολὺν χρόνον εὐδοκιμοῦντα εὐφραίνεσθαι. δηλοῦται δὲ ἐν τούτῳ, ὅτι καὶ ὅπου τάχους δεῖ, ὁ βλακεύων ἐλάχιστα μὲν ὠφελεῖται, πλεῖστα δὲ πράγματα λαμβάνει.

ια'. Οπως δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισὶν ὅ, τι ἂν ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν εἴ τι ἁμαρτάνοιεν. τοῦτο δὲ ποιήσας, διέπραξε καὶ αἰδημονεστέρους εἶναι τοὺς παῖδας. οὐδὲν

γὰρ

beribus caſtigabat, qui deprehendebatur? Nimirum ideo, mea quidem ſententia, quod aliis etiam in rebus, quas homines docent, non recte aliquid exſequentem plectant. Quamobrem illi quoque in deprehenſos, ut parum peritos fures, animadvertunt.

10. Quumque ingenioſum eſſe ſtatuiſſet, ſi qui plurimum tritici raperent: eos tamen ab aliis ad aram Orthiæ flagris cædi juſſit. Quo quidem ſignificare voluit, quod is qui exiguo tempore dolores perfert, diuturna voluptate cum gloria frui poſſit. Præterea ſignificatur hoc ipſo mollem ac ignavum hominem, quum celeritate opus eſt, utilitatis minimum capere, moleſtiæ plurimum.

11. Ut autem pueri etiam moderatore ſuo abſente, nunquam aliquo deſtituerentur, qui eis præeſſet: inſtituit, ut ex civibus, quicunque præſens quovis eſſet tempore, poteſtatem haberet tum imperandi pueris, quod ex uſu eſſe videretur, tum plectendi ſi quid delinquerent. Qua re perfecit ut etiam pueri verecundiores eſſent.

Quippe

γὰρ οὕτως αἰδοῦνται οὔτε παῖδες, οὔτε ἄνδρες, ὡς τοὺς ἄρχοντας.

ιβ΄. Ὡς δὲ καὶ, εἴποτε μηδεὶς τύχοι ἀνὴρ παρὼν, μηδ᾽ ὣς ἔρημοι οἱ παῖδες ἄρχοντος εἶεν, ἔθηκε τῆς ἴλης ἑκάστης τὸν τορώτατον τῶν ἀῤῥένων ἄρχειν. ὥστε οὐδέποτε ἐκεῖ αἱ παῖδες ἔρημοι ἄρχοντός εἰσι.

ιγ΄. Λεκτέον δέ μοι δοκεῖ εἶναι καὶ περὶ τῶν παιδικῶν ἐρώτων. ἔστι γάρ τι καὶ τοῦτο πρὸς παιδείαν. οἱ μὲν τοίνυν ἄλλοι Ἕλληνες ἢ (ὥσπερ Βοιωτοὶ) ἀνὴρ καὶ παῖς συζυγέντες ὁμιλοῦσιν, ἢ (ὥσπερ Ἠλεῖοι) διὰ χαρίτων τῇ ὥρᾳ χρῶνται. εἰσὶ δὲ καὶ οἳ παντάπασι τοῦ διαλέγεσθαι τοὺς ἐραστὰς εἴργουσιν ἀπὸ τῶν παίδων.

ιδ΄. Ὁ δὲ Λυκοῦργος ἐναντία καὶ τούτοις πᾶσι γνοὺς, εἰ μέν τις αὐτὸς ὢν οἷον δεῖ, ἀγασθεὶς ψυχὴν παιδὸς, πειρῷτο ἄμεμπτον φίλον ἀποτελέσασθαι καὶ συνεῖναι, ἐπῄνει, καὶ καλλίστην παιδείαν ταύτην ἐνόμιζεν.

ιε΄. Εἰ

Quippe nihil ita neque pueri, neque viri reverentur, atque præfectos ſuos.

12. Ut autem ne tunc quidem, ubi forte nullus ætatis virilis adeſſet, rectore pueri ſuo carerent: ſanxit, ut is qui eſſet in claſſe qualibet acerrimus, maribus imperaret. Quo fit ut iſtic pueri nunquam rectore careant.

13. Etiam de puerorum amoribus dicendum mihi videtur; quod hoc quoque ad inſtitutionem pertineat. Aliis in more Græcis eſt, ut vel conjuncti vir ac puer degant, quod fit apud Bœotos; vel formæ venuſtate muneribus potiantur, quod Eleis in uſu eſt. Nonnulli ſunt, qui prorſus amatores cum pueris etiam colloqui vetant.

14. Lycurgus autem his omnibus contraria ſtatuens, ſi quis vir eſſet ejuſmodi, qualem eſſe deceret, indolemque pueri admiratus, amicum ſibi ſincerum efficere cuperet, & cum eo verſari; hoc ipſum laudabat, eamque putabat inſtitutionem eſſe optimam.

15. Sin

ιέ. Εἰ δέ τις παιδὸς σώματος ὀρεγόμενος φανείη, αἴσχιστον τοῦτο θεὶς, ἐποίησεν ἐν Λακεδαίμονι μηδὲν ἧττον ἐραστὰς παιδικῶν ἀπέχεσθαι, ἢ γονεῖς παίδων, ἢ καὶ ἀδελ[illegible] ἀδελφῶν εἰς ἀφροδίσια ἀπέχονται. τὸ μέν τοι, ταῦτα ἀπιστεῖσθαι ὑπό τινων, οὐ θαυμάζω. ἐν πολλαῖς γὰρ τῶν πόλεων οἱ νόμοι οὐκ ἐναντιοῦνται ταῖς πρὸς τοὺς παῖδας ἐπιθυμίαις.

ΚΕΦ. γ'.

Ἡ Μὲν δὴ παιδεία εἴρηται, ἥτε Λακωνικὴ, καὶ ἡ τῶν ἄλλων Ἑλλήνων. ἐξ ὁποτέρας δ' αὐτῶν καὶ εὐπειθέστεροι, καὶ αἰδημονέστεροι, καὶ ὧν δεῖ ἐγκρατέστεροι ἄνδρες ἀποτελοῦνται, ὁ βουλόμενος καὶ ταῦτα ἐπισκοπείσθω.

β'. Ὅταν γε μὴν ἐκ παίδων εἰς τὸ μειρακιοῦσθαι ἐκβαίνωσι, τηνικαῦτα οἱ μὲν ἄλλοι παύουσι μὲν ἀπὸ παιδαγωγῶν, παύουσι δὲ καὶ ἀπὸ διδασκάλων, ἄρχουσι

δὲ

15. Sin aliquem pueri corpore duntaxat capi adpareret, id vero turpiſſimum eſſe ſtatuit: adeoque perfecit ut apud Lacedæmonios nihilo utique minus amatores à puerorum amatorum congreſſu abſtinerent, quam vel parentes à filiis, vel à fratribus fratres venereis in rebus abſtinent. Quæ ſane fidem apud quoſdam non mereri, nihil miror. Nam leges in pleriſque civitatibus libidines ejuſmodi non coërcent.

CAP. III.

ATque hactenus de inſtitutione tam Laconica quam cæterorum Græcorum dictum eſt. Utra vero promtiores ad parendum, & verecundiores, & continentiores in iis, ubi neceſſe eſt, viros efficiat; id etiam conſideret, qui volet.

2. Enimvero poſteaquam è pueritia tranſeunt ad adoleſcentiam, tum Græci quidem cæteri pædagogis magiſtriſque liberos ſuos committere deſinunt, neque

quiſ-

δὲ οὐδένες ἔτι αὐτῶν, ἀλλ' αὐτονόμους ἀφιᾶσιν· ὁ δὲ Λυκοῦργος καὶ τούτων τἀναντία ἔγνω.

γ'. Καταμαθὼν γὰρ τοῖς τηλικούτοις μέγιστον μὲν φρόνημα ἐμφυόμενον, μάλιστα δὲ ὕβριν ἐπιπολάζουσαν, ἰσχυροτάτας δὲ ἐπιθυμίας τῶν ἡδονῶν παρισταμένας, τηνικαῦτα πλείστους μὲν πόνους αὐτοῖς ἐπέβαλε, πλείστην δὲ ἀσχολίαν ἐμηχανήσατο.

δ'. Ἐπιθεὶς δὲ, καὶ εἴ τις ταῦτα φύγοι, μηδενὸς ἔτι τῶν καλῶν τυγχάνειν, ἐποίησε μὴ μόνον τοὺς ἐκ δημοσίου, ἀλλὰ καὶ τοὺς κηδομένους ἑκάστων ἐπιμελεῖσθαι, ὡς μὴ ἀποδειλιάσαντες ἀδόκιμοι παντάπασιν ἐν τῇ πόλει γένοιντο.

ε'. Πρὸς δὲ τούτοις τὸ αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βουλόμενος αὐτοῖς, καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι, περιβλέπειν δὲ μηδαμοῖ, ἀλλ' αὐτὰ τὰ πρὸ τῶν ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον καὶ εἰς τὸ σωφρονεῖν ἰσχυρότερόν ἐστι τῆς θηλείας φύσεως.

ϛ'. Ἐκεί-

quiſquam amplius eis imperat, ſed juris ſui fiunt: Lycurgus autem his quoque contraria ſtatuit.

3. Nam quod animadverteret, illis, qui hac eſſent ætate, ſpiritus à natura maximos ineſſe, maximamque petulantiam redundare, cupiditates denique voluptatum vehementiſſimas adeſſe: idcirco tunc plurimis eos laboribus ſubjecit, & occupationes eorum plurimas excogitavit.

4. Quumque addidiſſet, cum, qui hæc fugeret, expertem fore deinceps rerum egregiarum omnium: perfecit, ut non tantum publice conſtituti, ſed illi etiam, qui gererent privatim curam ſingulorum, operam darent, ne præ ignavia contemtui civibus univerſis eſſent.

5. Præterea quum vehementer animis eorum pudorem inſerere cuperet, inſtituit; ut in via manum utramq; intra veſtem continerent, incederent taciti, nuſquã circumſpicerent, ea tantum intuerentur, quæ ante pedes eſſent. Unde patuit, ſexum marem etiam fœmineo ſe modeſtius poſſe gerere.

6. Sane

ς'. Ἐκείνων γ' οὖν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις, ἢ τῶν λιθίνων, ἧττον δ' ἂν ὄμματα μεταστρέψαις, ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν * ἐν τοῖς θαλάμοις παρθένων. καὶ ἐπειδὰν εἰς τὸ * φιλίτιόν γε ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. καὶ τῶν μὲν αὖ παιδικῶν οὕτως ἐπεμελήθη.

ΚΕΦ. δ'.

Περί γε μὴν τῶν ἡβώντων πολὺ μάλιστα ἐσπούδασε, νομίζων, τούτους, εἰ γένοιντο οἵους δεῖ, πλεῖστον ῥέπειν ἐπὶ τὸ ἀγαθὸν τῇ πόλει.

β'. Ὁρῶν οὖν, οἷς ἂν μάλιστα φιλονεικία ἐγγένηται, τούτων καὶ χοροὺς ἀξιακροατοτάτους γιγνομένους, καὶ γυμνικοὺς ἀγῶνας ἀξιοθεατοτάτους· ἐνόμιζεν, εἰ καὶ τοὺς ἡβῶντας συμβάλλοι εἰς ἔριν περὶ ἀρετῆς, οὕτως ἂν καὶ τούτους ἐπὶ πλεῖστον ἀφικνεῖσθαι ἀνδραγαθίας. ὡς οὖν τούτους αὖ συνέβαλεν, ἐξηγήσομαι.

6. Sane vocem illorum minus audias, quam ſi lapidei; minus oculos flexeris, quam ſi eſſent ahenei: denique verecundiores eſſe duxeris, quam ſint eæ quæ in thalamis degunt virgines. Quod ſi etiã ad philitium veniant, ſatis habendum hoc ex eis audiri, de quo interrogati ſunt. Atque hanc Lycurgus ætati puerili curam adhibuit.

CAP. IV.

CÆterum multo maximam diligentiam puberibus impendit, quod eos duceret, ſi tales evaderent, quales eſſe conveniret, plurimum momenti civitatis commodis allaturos.

2. Itaque quum videret, quibuſcunque maxime ſtudium contentionis innatum eſſet, horum & choros auditu, & certamina gymnica ſpectatu eſſe digniſſima; arbitrabatur, ſi puberes in contentionem virtutis inter ſe committeret, etiam illos hoc modo evaſuros eſſe fortiſſimos. Exponam autem quo modo inter ſe hos commiſerit.

γʹ. Αἱροῦνται τοίνυν αὐτῶν οἱ Ἔφοροι ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας. οὗτοι δὲ Ἱππαγρέται καλοῦνται. τούτων δὲ ἕκαστος ἄνδρας ἑκατὸν καταλέγει, διασαφηνίζων ὅτου ἕνεκα τοὺς μὲν προτιμᾷ, τοὺς δὲ ἀποδοκιμάζει.

δʹ. Οἱ οὖν μὴ τυγχάνοντες τῶν καλῶν, πολεμοῦσι τοῖς τε ἀποστείλασιν αὐτούς, καὶ τοῖς αἱρεθεῖσιν ἀνθ' αὐτῶν, καὶ παραφυλάττουσιν ἀλλήλους, ἐάν τι παρὰ τὰ καλὰ νομιζόμενα ῥᾳδιουργῶσι.

εʹ. Καὶ αὕτη δὴ γίγνεται ἡ θεοφιλεστάτη τε, καὶ πολιτικωτάτη ἔρις, ἐν ᾗ ἀποδέδεικται μέν, ἃ δεῖ ποιεῖν τὸν ἀγαθόν, χωρὶς δ' ἑκάτεροι ἀσκοῦσιν, ὅπως ἀεὶ κράτιστοι ἔσονται· ἐὰν δέ τι δέῃ, καθ' ἕνα ἀρήξουσι τῇ πόλει παντὶ σθένει.

ϛʹ. Ἀνάγκη δ' αὐτοῖς καὶ εὐεξίας ἐπιμελεῖσθαι· καὶ γὰρ πυκτεύουσι διὰ τὴν ἔριν, ὅπου ἂν συμβάλωσι· διαλύειν μέντοι τοὺς μαχομένους πᾶς ὁ παραγενόμενος κύριος. ἢν δέ τις

ἀπειθῇ

3. Eligunt Ephori ex eorum numero, qui ætate ſunt vegeta, tres viros, quos Hippagretas vocant. Eorum quiſque centum ſibi viros deligit, ac ſimul declarat quamobrem alios præferat, alios rejiciat.

4. Itaque illi, qui honorem hunc non conſequuntur, inimici ſunt tam iis, à quibus rejecti ſunt, quam his in electione ſibi prælatis: ſeque obſervant mutuo, num aliquid adverſus ea quæ honeſta ducuntur, nequiter committant.

5. Atque hæc eſt Diis acceptiſſima, & imprimis utilis reipublicæ contentio; qua demonſtratur, quid viro forti faciundum ſit; & utrique ſemet in eo ſeorſum exercent, ut ſemper ſint præſtantiſſimi; ac res ſi poſtulet, ſingillatim reipublicæ totis viribus opitulentur.

6. Præterea neceſſe eſt, ut bonæ conſtitutioni ſtudeant. Nam ubicunque congreſſi fuerint, ob hanc inter ſe rixam colluctando pugnant. Et dirimere pugnantes cujuſvis eſt in poteſtate, qui forte intervenerit. Quod ſi quis diri-

menti

ἀπειθῇ τῷ διαλύοντι, ἄγει αὐτὸν ὁ παιδονόμος ἐπὶ τοὺς Ἐφόρους· οἱ δὲ ζημιοῦσι, μεγαλείως καθιστάναι βουλόμενοι, εἰς τὸ μήποτε ὀργὴν τοῦ μὴ πείθεσθαι τοῖς νόμοις κρατῆσαι.

ζ΄. Τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, οἱ μὲν ἄλλοι Ἕλληνες ἀφελόντες αὐτῶν τὸ ἰσχύος ἔτι ἐπιμελεῖσθαι, στρατεύεσθαι ὅμως αὐτοῖς ἐπιτάττουσιν.

η΄. Ο δὲ Λυκοῦργος τοῖς τηλικούτοις νόμιμον ἐποίησ κάλλιστον εἶναι τὸ θηρᾷν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως δύναιντο καὶ οὗτοι μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν.

ΚΕΦ. ε΄.

Ἃ Μὲν οὖν ἑκάστῃ ἡλικίᾳ ἐνομοθέτησεν ὁ Λυκοῦργος ἐπιτηδεύματα, σχεδὸν εἴρηται. οἵαν δὲ καὶ πᾶσι δίαιταν κατεσκεύασε, νῦν πειράσομαι διηγεῖσθαι.

β΄. Λυκοῦργος τοίνυν παραλαβὼν τοὺς Σπαρτιάτας, ὥσπερ

τοὺς

menti non obtemperet, eum moderator juventutis ad Ephoros deducit: à quibus ille multatur, acerrimo ſtudio id efficere volentibus, ne quis unquam ab ira ſuperatus impediatur quo minus legibus pareat.

7. Qui vero jam pubertatis annos exceſſerint, è quorum numero magiſtratus ſummi creantur, eos Græci cæteri, detracta virium exercendarum cura, in militiam nihilominus proficiſci jubent.

8. Lycurgus autem introduxit, ut illa in ætate quam honeſtiſſimum habeatur, venationi operam dare, niſi quod publicum munu impediat: ut etiam hi non minu quam puberes, perferre labore militares poſſint.

CAP. V.

AC prope jam explicatu eſt, quæ cuilibet ætati ſtudi Lycurgus præſcripſerit. Qualem vero victus rationem univerſis inſtituerit, jam exponere conabo

2. Quum igitur Lycurgu Spartanos accepiſſet, pro Græcorum

τοὺς ἄλλους Ἕλληνας, οἴκοι σκηνοῦντας, γνοὺς ἐν τούτοις πλείστους ῥᾳδιουργεῖσθαι, εἰς φανερὸν ἐξήγαγε τὰ συσκήνια, οὕτως ἡγούμενος ἥκιστ' ἂν παραβαίνεσθαι τὰ προσταττόμενα.

γ'. Καὶ σῖτόν τε ἔταξεν αὐτοῖς, ὡς μήτε ὑπερπληροῦσθαι, μήτε ἐνδεεῖς γίγνεσθαι. πολλὰ δὲ καὶ παράλογα γίγνεται ἀπὸ τῶν ἀγρευομένων. οἱ δὲ πλούσιοι ἔστιν ὅτε καὶ ἄγραν ἀντιπαραβάλλουσιν. ὥστε οὔτε ἔρημός ποτε ἡ τράπεζα βρωτῶν γίγνεται, ἔστ' ἂν διασκηνῶσιν, οὔτε πολυδάπανος.

δ'. Καὶ μὴν τοῦ πότου ἀποπαύσας τὰς οὐκ ἀναγκαίας πόσεις, αἳ σφάλλουσι μὲν σώματα, σφάλλουσι δὲ γνώμας, ἐφῆκεν ὁπότε διψῴη ἕκαστος πίνειν· οὕτω νομίζων ἀβλαβέστατόν τε, καὶ ἥδιστον ποτὸν γίγνεσθαι. οὕτω γε μὴν ★ σκηνούντων, πῶς ἄν τις ἢ ὑπὸ λιχνείας, ἢ οἰνοφλυγίας ἢ αὑτὸν, ἢ οἶκον διαφθείρειεν;

ε'. Καὶ

corum reliquorum conſuetudine domi ſuæ victitantes: quumque animadvertiſſet, in his plurimos nequiter ſe gerere, convictus illos in publicum eduxit, quod ea ratione futurum exiſtimaret, ut minime imperata tranſgrederentur.

3. Cibum etiam eis ita inſtituit, ut neque nimium replerentur, neque penuria laborarent. Multa vero etiam præter expectationem fiunt de illis quæ venando capiuntur. Et locupletes nonnunquam prædam venatu captam in commune conferunt. Quo fit, ut menſa nunquam careat iis rebus quibus veſcantur, quam quidem diu convictus ille durat; nec tamen ſumtuoſa ſit.

4. Sublatis etiam potationibus non neceſſariis, quæ tum corpora, tum animos labefactant, poteſtatem eis bibendi reliquit, ubi quiſque ſitiret. Nam hac ratione putabat potum minime noxium, & longe ſuaviſſimum effici. Quamobrem qui fieri poteſt, ut aliquis ex iis qui ſimul hoc modo victitant, vel gula, vel temulentia ſe, remve ſuam familiarem perdat?

5. Etenim

ε'. Καὶ γὰρ δὴ ἐν μὲν ταῖς ἄλλαις πόλεσιν ὡς τὸ πολὺ οἱ ἥλικες ἀλλήλοις σύνεισι· μεθ' ὧνπερ καὶ ἐλαχίστη αἰδὼς παραγίγνεται. ὁ δὲ Λυκοῦργος ἐν τῇ Σπάρτῃ ἀνέμιξε παιδεύεσθαι τὰ πολλὰ τοὺς νεωτέρους ὑπὸ τῆς τῶν γεραιτέρων ἐμπειρίας.

ϛ'. Καὶ γὰρ δὴ ἐπιχώριον ἐν τοῖς φιλιτίοις λέγεσθαι ὅ,τι ἂν καλῶς τις ἐν τῇ πόλει ποιήσῃ· ὥστ' ἐκεῖ ἥκιστα μὲν ὕβριν, ἥκιστα δὲ παροινίαν, ἥκιστα δὲ αἰσχρουργίαν καὶ αἰσχρολογίαν ἐγγίγνεσθαι.

ζ'. Ἀγαθά γε μὴν ἀπεργάζεται καὶ τάδε ἡ ἔξω σίτησις. περιπατεῖν τε· γὰρ ἀναγκάζονται ἐν τῇ οἴκαδε ἀφόδῳ, καὶ μὴν τὸ ὑπὸ οἴνου μὴ σφάλλεσθαι ἐπιμελεῖσθαι, εἰδότες ὅτι οὐκ ἐνθάπερ ἐδείπνουν, καταμενοῦσι, καὶ τῇ ὄρφνῃ ὅσα ἡμέρᾳ χρηστέον. οὐδὲ γὰρ ὑπὸ φανοῦ τὸν ἔτι ἔμφρουρον ἔξεστι πορεύεσθαι.

η'. Καταμαθών γε μὴν ὁ Λυκοῦργος καὶ ὅτι ἀπὸ τῶν σίτων οἱ μὲν διαπονούμενοι, εὔχροοί τε, καὶ εὔσαρκοι, καὶ εὔρωστοί εἰσιν, οἱ δ' ἄ[illegible]νοι, πεφυσημένοι

τε,

5. Etenim aliis in urbibus plerumque æquales inter ſe verſantur, inter quos minimum eſt pudoris. Lycurgus vero Spartæ ſic omnia miſcuit, ut illic juniores ab experientia ſeniorum ut plurimum erudiantur.

6. Nam, more patrio, commemoratur in publicis illis epulis, quidquid in republica quiſque præclare fecerit. Quo fit, ut iſtic minime vel injuria, vel ex vino petulantia, vel factum turpe, vel turpe dictum interveniat.

7. Etiam ad hoc utiles ſunt epulæ foris publicæ, quod obambulare cogantur, ubi domum diſcedere volunt; atque operam dare, ne præ vino titubent: quippe qui ſciant ſe non ibi manſuros, ubi cœnaverint, & tenebris perinde ſibi utendum, ac die. Non enim cum face licet ei qui necdum militiæ vacationem impetravit, incedere.

8. Quum autem animadvertiſſet Lycurgus, eos, qui à cibo ſe laboribus exercent, & boni coloris & ſucculentos & robuſtos eſſe; qui vero à laboribus abſtinerent, tumen-

τι, καὶ αἰσχροὶ, καὶ ἀσθενεῖς ἀναφαίνονται, οὐδὲ τούτου ἠμέλησεν· ἀλλ' ἐννοῶν, ὅτι καὶ ὅταν αὐτός τις τῇ ἑαυτοῦ γνώμῃ φιλοπονῇ, * ἀρκούντως τὸ σῶμα ἔχων ἀναφαίνεται, ἐπέταξε τὸν ἀεὶ πρεσβύτατον ἐν τῷ γυμνασίῳ ἑκάστῳ ἐπιμελεῖσθαι, ὡς μήποτε αὐτοὶ ἐλάττους * τῶν σιτίων γίγνεσθαι.

θʹ. Καὶ ἐμοὶ μὲν οὐδ' ἐν τούτῳ σφαλῆναι δοκεῖ. οὐκ ἂν οὖν ῥαδίως γέ τις εὕροι Σπαρτιατῶν οὔτε ὑγιεινοτέρους, οὔτε τοῖς σώμασι χρησιμωτέρους. ὁμοίως γὰρ ἀπό τε τῶν σκελῶν, καὶ ἀπὸ χειρῶν, καὶ ἀπὸ τραχήλου γυμνάζονται.

ΚΕΦ. ϛʹ.

ΕΝαντία γε μὴν ἔγνω καὶ τάδε τοῖς πλείστοις. ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσι τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν, καὶ χρημάτων ἄρχουσιν· ὁ δὲ Λυκοῦργος, κατασκευάσαι βουλόμενος, ὡς ἂν μηδὲν βλάπτοντες, ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθὸν, ἐποίη-

σε

umentes, ac deformes, imbecil-
oſque conſpici : ne id quidem
eglexit, ſed conſiderans, eum qui
ponte ſua labores ſuſciperet, ex-
ibere corpus ad quævis idoneum
c ſufficiens: præcepit, ut ſemper
qui quolibet eſſet in gymnaſio
atu maximus, curam adhiberet,
e unquam ipſi deteriores evade-
ent inter eos, qui convictu eo-
em uterentur.

9. Qua in re mihi quidem non
berraſſe videtur. Nec enim fa-
le quis homines inveniat, qui
partanis aut bona valetudine, aut corporis viribus præſtent. Nam pariter & cruribus, & manibus, & cervicibus exercentur.

CAP. VI.

PRæterea ſecus hac etiam in parte judicabat, quam alii plurimi. Nam cæteris in urbibus quiſque ſuis liberis, ſervis, facultatibus præeſt. Lycurgus autem, qui efficere vellet, ut cives nullo ſibi invicem damno dato, etiam commodis quibuſdam opera mutua fruerentur: inſtituit,

σι παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν ἀλλοτρίων ἄρχ

β΄. Οταν δέ τις εἰδῇ, ὅτι οὗτοι πατέρες εἰσὶ τῶν παίδων, ὧν αὐτὸς ἄρχει, ἀνάγκη οὕτως ἄρχειν, ὥσπερ ἂν καὶ τοὺς ἑαυτοῦ ἄρχεσθαι βούλοιτο. ἢν δέ τις παῖς ποτὲ πληγὰς λαβὼν ὑπ' ἄλλου, κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ. οὕτω πιστεύουσιν ἀλλήλοις μηδὲν αἰσχρὸν προστάττειν τοῖς παισίν.

γ΄. Εποίησε δὲ καὶ οἰκέταις, εἴτις δεηθείη, χρῆσθαι καὶ τοῖς ἀλλοτρίοις. καὶ κυνῶν δὲ θηρευτικῶν συνῆψε κοινωνίαν. ὥστε οἱ μὲν δεόμενοι παρακαλοῦσιν ἐπὶ θήραν· ὁ δὲ μὴ αὐτὸς σχολάζων, ἡδέως ἐκπέμπει. καὶ ἵπποις δὲ ὡσαύτως χρῶνται. ὁ γὰρ ἀσθενήσας, ἢ δεηθεὶς ὀχήματος, ἢ ταχύ ποι βουληθεὶς ἀφικέσθαι, ἤν που ἴδῃ ἵππον ὄντα, λαβὼν καὶ χρησάμενος καλῶς, ἀποκαθίστησιν.

δ΄. Ου μὴν οὐδ' ἐκεῖνο γε παρὰ τοῖς ἄλλοις εἰθισμένον ἐποίησεν ἐπιτηδεύεσθαι. ὅπου γὰρ ἂν ὑπὸ θή-

ρας

tuit, ut quiſque tam ſuis quam alienis liberis imperaret.

2. Quod ſi quis ſciat, eos pueros, in quos imperium ipſe ſibi ſumit, hos vel illos habere patres: neceſſe eſt ſic eis imperet, quemadmodum & ſuo vellet imperari. Si quis autem puer verberibus aliquando cæſus ab alio, patri ſuo id enuntiet: turpe eſt, non eidem alias inſuper plagas addere. Uſque adeo fidem ſibi invicem habent, nequaquam futurum ut turpia pueris præcipiant.

3. Sanxit etiam, ut famulis, ſi eorum opera quis egeat, alieni uti liceat: inſtituta venaticoru quoque canum communione. It que ſi qui canibus egent, ad ve tionem alios invitant; ac ſi c non ſit otium, lubenter canes co cedit. Itidem utuntur & equi Nam qui æger eſt, aut vehicul indiget, vel celeriter aliquo pe gere cupit, ſicubi equum vide cum ſumit; ac poſteaquam ill recte uſus eſt, reſtituit.

4. Ne id quidem apud ſu fieri voluit, quod cæteris eſt i uſu. Quippe quum præ venand

ſtudi

ρας ὀψιαθέντες δεηθῶσι τῶν ἐπιτηδείων, ἐὰν μὴ συνεσκευασμένοι τύχωσι, καὶ ἐνταῦθα ἔθηκε τοὺς μὲν πεπαυμένους καταλείπειν τὰ πεποιημένα, τοὺς δὲ δεομένους, ἀνοίξαντας τὰ σήμαντρα, λαβόντας ὅσων ἂν δέωνται, σημηναμένους καταλιπεῖν. τοιγαροῦν οὕτως μεταδιδόντες ἀλλήλοις, καὶ οἱ τὰ μικρὰ ἔχοντες μετέχουσι πάντων τῶν ἐν τῇ χώρᾳ, ὁπόταν τινὸς δεηθῶσιν.

ΚΕΦ. ζ′.

ΕΝαντία γε μὴν καὶ τάδε τοῖς ἄλλοις Ελλησιν κατέστησεν ὁ Λυκοῦργος ἐν τῇ Σπάρτῃ νόμιμα. ἐν μὲν γὰρ δήπου ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται ὅσον δύνανται. ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δ᾽ ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται.

β′. Εν δὲ τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς μὲν ἐλευθέροις τῶν μὲν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι· ὅσα δ᾽ ἐλευθερίαν

ταῖς

ſtudio ita nox eos oppreſſit, ut neceſſariis ad victum egeant, eorumque paratum nihil habeant: ſanxit, ut illi, qui venari deſierunt, inſtructa relinquant; qui vero iis egent, apertis ſigillis, & acceptis neceſſariis, cætera rurſus obſignata relinquant. Atque hoc modo communicatis inter ſe rebus, etiam illi qui pauca poſſident, participes omnium fiunt, quæ regio illa fert, ubi quid ſuum ad uſum requirunt.

CAP. VII.

ETiam hoc ratione quadam diverſa reliquorum à Græcorum conſuetudine Lycurgus Lacedæmone ſanxit. Nam aliis in urbibus omnes quocunque modo poſſunt rem faciunt. Hic agrum colit, ille naviculatoriæ deditus eſt: hic mercatura, ille opificio exercendo ſe alit.

2. Spartæ vero Lycurgus ingenuis interdixit quominus ea quibus rem facere poſſint, attingant: juſſitque, ut illa tantum

ad

ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξε μόνα ἔργα αὐτῶν νομίζειν.

γ΄. Καὶ γὰρ δὴ τί πλοῦτος ἐκεῖ γε σπουδαστέος, ἔνθα ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια, ὁμοίως δὲ διαιτᾶσθαι τάξας, ἐποίησε μὴ ἡδυπαθείας ἕνεκα χρημάτων ὀρέγεσθαι; ἀλλὰ μὴν οὐδὲ ἱματίων γε ἕνεκα χρηματιστέον. οὐ γὰρ ἐσθῆτος πολυτελείᾳ, ἀλλὰ σώματος εὐεξίᾳ κοσμοῦνται.

δ΄. Οὐδὲ μὴν τοῦ γε εἰς τοὺς συσκήνους ἕνεκα ἔχειν δαπανᾶν, χρήματα ἀθροιστέον. ἐπεὶ τὸ τῷ σώματι πονοῦντα ὠφελεῖν τοὺς συνόντας εὐδοξότερον ἐποίησεν, ἢ τὸ δαπανῶντας· ἐπιδείξας τὸ μὲν ψυχῆς, τὸ δὲ πλούτου ἔργον.

ε΄. Τό γε μὴν ἐξ ἀδίκων χρηματίζεσθαι καὶ ἐν τοῖς τοιούτοις διεκώλυσε. πρῶτον μὲν γὰρ νόμισμα τοιοῦτον κατεστήσατο, ὃ δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν, οὔποτε δεσπότας οὔτε οἰκέτας λάθοι. καὶ

γὰρ

ad ſe pertinere ducerent, quæcunque ad libertatem civitatibus parandam faciant.

3. Nam cur iſtic opes aliquis adfectaret, ubi quum ipſe inſtituiſſet, ut omnes ex æquo rebus ad vitam neceſſariis potirentur, eademque ratione victus uterentur, hoc ipſum effectum erat, ut opes voluptatis cauſſa non expeterentur? Ne veſtium quidem cauſſa pecuniæ ſtudendum. Non enim magni pretii veſte, ſed corporis egregia conſtitutione ornantur.

4. Non item propterea, ut contubernalium cauſſa facere ſumtum poſſint, pecuniæ ipſis cogendæ ſunt. Sanxit enim, ut glorioſius habeatur, corporis labore prodeſſe ſodalibus, quam faciendis ſumtibus: quorum alterum ab animo, alterum ab opulentia proficiſci demonſtrabat.

5. Etiam per nefas rem facere, his ipſis rebus vetuit. Nam primum ejuſmodi monetam inſtituit, cujus ſi tantum decem minæ in domum inferrentur, nec dominos nec ſervos latere poſſent. Etenim

&

γὰρ χώρας μεγάλης, καὶ ἁμάξης ἀγωγῆς δέοιτ᾽ ἄν.

ς'. Χρυσίον γε μὴν, καὶ ἀργύριον ἐρευνᾶται. καὶ ἄν τί που φανῇ, ὁ ἔχων ζημιοῦται. τί οὖν ἂν ἐκεῖ χρηματισμὸς σπουδάζοιτο, ἔνθα ἡ κτῆσις πλείους λύπας, ἢ ἡ χρῆσις εὐφροσύνας παρέχει;

ΚΕΦ. η'.

Ἀλλὰ γὰρ ὅτι μὲν ἐν Σπάρτῃ μάλιστα πείθονται ταῖς ἀρχαῖς τε καὶ τοῖς νόμοις, ἴσμεν ἅπαντες. ἐγὼ μέντοι οὐδ᾽ ἐγχειρῆσαι οἶμαι πρότερον τὸν Λυκοῦργον ταύτην τὴν εὐεξίαν καθιστάναι, πρὶν ὁμογνώμονας ἐποιήσατο τοὺς κρατίστους τῶν ἐν τῇ πόλει.

β'. Τεκμαίρομαι δὲ ταῦτα, ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσιν οἱ δυνατώτεροι οὔτε βούλονται δοκεῖν τὰς ἀρχὰς φοβεῖσθαι, ἀλλὰ νομίζουσι τοῦτο ἀνελεύθερον εἶναι. ἐν δὲ τῇ Σπάρτῃ οἱ κράτιστοι καὶ ὑπέρχονται μάλιστα τὰς ἀρχὰς, καὶ τῷ ταπεινοὶ εἶναι μεγαλύνονται, καὶ τῷ, ὅταν καλῶνται, τρέ-

& amplo id collocari ſpatio, & plauſtro neceſſe eſſet vehi.

6. Aurum autem argentumque perquiri ſolet, ac ſicubi conſpectum fuerit, poſſeſſor multatur. Cur igitur iſtic quærendis opibus opera detur, ubi comparatio plus moleſtiæ, quam uſus voluptatis exhibeat?

CAP. VIII.

ENimvero cives Spartanos inprimis & magiſtratibus & legibus parere, ſcimus omnes. At ego Lycurgum ne quidem adgreſſum arbitror egregiam illam reipublicæ conſtitutionem, prius quam civitatis optimates ſuam in ſententiam adduxiſſet.

2. Ejus rei hoc argumentum habeo, quod qui aliis in urbibus potentiores ſunt, ne videri quidem volunt metuere magiſtratus: adeoque ducunt hoc eſſe ab homine libero alienum. Spartæ vero præſtantiſſima dignitate viri maxime magiſtratus obſervant, ac ſibi glorioſum putant, ſi humiles ſint, & arceſſiti non gradatim ince-

τρέχοντες, ἀλλὰ μὴ βαδίζοντες ὑπακούειν· νομίζοντες, ἢν αὐτοὶ κατάρχωσι τοῦ σφόδρα πείθεσθαι, ἕψεσθαι καὶ τοὺς ἄλλους· ὅπερ καὶ γεγένηται.

γ'. Εικὸς δὲ καὶ τὴν τῆς Εφορείας δύναμιν τοὺς αὐτοὺς τούτους συγκατασκευάσαι, ἐπείπερ ἔγνωσαν τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει, καὶ ἐν στρατιᾷ, καὶ ἐν οἴκῳ. ὅσῳ γὰρ μείζω δύναμιν ἔχοι ἡ ἀρχὴ, τοσούτῳ μᾶλλον ἂν ἡγήσατο αὐτὴν καὶ καταπλήξειν τοὺς πολίτας, τοῦ ὑπακούειν.

δ'. Εφοροι οὖν ἱκανοὶ μὲν εἰσὶ ζημιοῦν ὃν ἂν βούλωνται, κύριοι δ' ἐκπράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ καὶ καταπαῦσαι, καὶ εἶρξαί γε, καὶ περὶ τῆς ψυχῆς εἰς ἀγῶνα καταστῆσαι. τοσαύτην δὲ ἔχοντες δύναμιν, οὐχ (ὥσπερ αἱ ἄλλαι πόλεις) ἐῶσι τοὺς αἱρεθέντας ἀεὶ ἄρχειν τὸ ἔτος ὅπως ἂν βούλωνται, ἀλλ' ὥσπερ οἱ τύραννοι, καὶ οἱ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἐπιστάται, ἢν

τινα

incedendo, ſed currendo dictis audiant. Exiſtimant enim, ſi ad ſummam obedientiam præſtandam duces ipſi fuerint, etiam alios ipſorum exemplum ſequuturos: quod quidem ita accidit.

3. Et conſentaneum vero eſt, hos ipſos Ephororum poteſtatem una [cum Lycurgo] inſtituiſſe: quod animadverterent, obedientiam ſummum & in urbe, & apud exercitum, & in familia bonum eſſe. Nam quanto major magiſtratus poteſtas eſſet, tanto plus terroris civibus adlaturam arbitrabatur ad hoc, ut dicto eſſent audientes.

4. Igitur Ephoris poteſtas eſt mulctandi, quem velint, & ſubito multam exigendi, atque etiam magiſtratus, dum adhuc cum imperio ſunt, loco movendi, vel carceribus conſtringendi, vel in judicium de vita vocandi. Tanta quum eorum poteſtas ſit, non quemadmodum aliis fit in urbibus, magiſtratus creatos ex animi arbitratu toto anno uti permittunt imperio ſuo: ſed regum inſtar, eorumve præſidum, qui certaminibus gymnicis moderantur, ſi

quem

τινα αἰσθάνωνται παρανομοῦντά τι, εὐθὺς παραχρῆμα κολάζουσι.

ε΄. Πολλῶν δὲ καὶ ἄλλων ὄντων μηχανημάτων καλῶν τῷ Λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν τοὺς πολίτας, ἐν τοῖς καλλίστοις καὶ τοῦτό μοι δοκεῖ εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δὲ ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν, οὐ μόνον ἄνομον ἀλλὰ καὶ ἀνόσιον θεὶς τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι.

ΚΕΦ. θ΄.

Ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, τὸ κατεργάσασθαι ἐν τῇ πόλει, αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου· καὶ γὰρ δὴ ἐπισκοπῶν τις ἂν εὕροι μείους ἀποθνήσκοντας τούτων, τῶν ἐκ τοῦ φοβεροῦ ἀποχωρεῖν αἱρουμένων.

β΄. Ὥστ

quem in leges aliquid committere animadvertunt, eum mox puniunt.

5. Quumque multa præclare Lycurgus excogitaverit, ut cives legibus obtemperare vellent: in primis hoc pulchrum equidem ſtatuo, quod multitudini leges non prius tradiderit, quam cum optimatibus Delphos profectus, Apollinem conſuluiſſet, an Spartæ ſtatus melior feliciorque futurus eſſet, ſi legibus, quas tuliſſet ipſe, pareret. Is vero quum oraculo reſpondiſſet, omnino id ex uſu fore: tum demum eas tradidit, non modo contra leges, ſed etiam pietatem, facturos ſtatuens, ſi legibus oraculo Pythio comprobatis non obtemperaſſent.

CAP. IX.

Hoc etiam in Lycurgo admiratione dignum eſt, quod in civitate ſua perfecerit,ut vitæ turpi mors honeſta præferretur. Nam ſi quis rem conſideret, inveniet pauciores ex his perire, quam ex illis, qui è periculo ſubducere ſe malunt.

2. Adeo

β'. Ὥστ' ἀληθὲς εἰπεῖν, καὶ ἕπεται τῇ ἀρετῇ σώζεσθαι εἰς τὸν πλείω χρόνον μᾶλλον, ἢ τῇ κακίᾳ. καὶ γὰρ ῥᾴων, καὶ ἡδίων, καὶ εὐπορωτέρα, καὶ ἰσχυροτέρα. δῆλον δὲ, ὅτι καὶ εὔκλεια μάλιστα ἕπεται τῇ ἀρετῇ· καὶ γὰρ συμμαχεῖν πως πάντες τοῖς ἀγαθοῖς βούλονται.

γ'. Ἡ μέντοι ὥστε ταῦτα γίγνεσθαι ἐμηχανήσατο, καὶ τοῦτο καλὸν μὴ παραλιπεῖν. ἐκεῖνος τοίνυν σαφῶς παρεσκεύασε τοῖς μὲν ἀγαθοῖς εὐδαιμονίαν, τοῖς δὲ κακοῖς κακοδαιμονίαν.

δ'. Ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσιν, ὁπόταν τις κακὸς γένηται, ἐπίκλησιν μόνον ἔχει κακὸς εἶναι· ἀγοράζει δὲ ἐν τῷ αὐτῷ ὁ κακὸς τἀγαθῷ, καὶ κάθηται, καὶ γυμνάζεται, ἐὰν βούληται. ἐν δὲ τῇ Λακεδαίμονι πᾶς μὲν ἄν τις αἰσχυνθείη τὸν κακὸν σύσκηνον παραλαβεῖν, πᾶς δ' ἂν ἐν παλαίσμασι συγγυμναστήν.

ε'. Πολλάκις δὲ ὁ τοιοῦτος καὶ διαιρουμένων τοὺς ἀντισφαι-

ριοῦνται,

2. Adeo verum ut dicam, magis virtutem comitatur incolumitas diuturnior, quam ignaviam. Nam [virtus] & facilior eſt, & ſuavior, & expeditior, & firmior. Etiam hoc manifeſtum eſt, gloriam imprimis comitem virtutis eſſe. Etenim viris fortibus omnes in bello ſocii eſſe volunt.

3. Qua vero arte conſequutus ſit, ut hoc efficeret; id quoque rectum erit haud omittere. Nimirum Lycurgus plane præſtitit, ut viri fortes beatam, ignavi miſeram vitam agerent.

4. Nam aliis in urbibus quum ignaviter aliquis ſe gerit, duntaxat hominis ignavi cognomento notatur: ac nihilominus negotiatur in eodem foro vir ignavus, quo ſtrenuus; ibidem & ſedet, & exercet ſe, ſi velit. At Lacedæmone quivis pudendum duxerit, hominem ignavum vel in idem contubernium, vel ad eadem exercitia in luctis admittere.

5. Sæpenumero etiam vir hujuſmodi, quum dividuntur, qui pila ex adverſo ludant, neutram ad partem admiſſus, pro ſuper-

vacaneo

ριοῦντας, ἀχώριστος περιγίγνεται· καὶ ἐν χοροῖς δ' εἰς τὰς ἐπονειδίστους χώρας ἀπελαύνεται. καὶ μὴν ἐν ὁδοῖς παραχωρητέον αὐτῷ, καὶ ἐν θάκοις, καὶ ἐν τοῖς νεωτέροις ὑπαναστατέον, καὶ τὰς μὲν προσηκούσας κόρας οἴκοι θρεπτέον, καὶ ταύταις τῆς ἀνανδρείας αἰτίαν ὑφεκτέον· γυναικὸς δὲ κενὴν ἑστίαν οὐ περιοπτέον, καὶ ἅμα τούτου ζημίαν ἀποτιστέον. λιπαρὸν δὲ οὐ πλανητέον, οὐδὲ μιμητέον τοὺς ἀνεγκλήτους, ἢ πληγὰς ὑπὸ τῶν ἀμεινόνων ληπτέον.

ϛʹ. Ἐγὼ μὲν δή, τοιαύτης τοῖς κακοῖς ἀτιμίας ἐπικειμένης, οὐδὲν θαυμάζω τὸ προαιρεῖσθαι ἐκεῖ θάνατον ἀντὶ τοῦ οὕτως ἀτίμου τε καὶ ἐπονειδίστου βίου.

ΚΕΦ. ιʹ.

ΚΑλῶς δέ μοι δοκεῖ ὁ Λυκοῦργος νομοθετῆσαι καὶ ᾗ μέχρι γήρως ἀσκοῖτ' ἂν ἀρετή. ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γερουσίας προσθεὶς, ἐποίησε μηδὲ ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν.

vacaneo relinquitur: itidemque in choris ad ignominioſa loca rejicitur. In via quoque aliis ut cedat neceſſe habet, & in conſeſſibus, & inter juniores ut adſurgat. Præterea ut puellas ad ſe pertinentes alat domi, quæ & ipſæ culpam alienæ ignaviæ ſuſtineant: ut caveat, ne domo prodeat uxor, eoque nomine multam perſolvat: ut unctus nitiduſque non obambulet, honeſtæ famæ homines non imitetur, niſi à melioribus verberari velit.

6. Hujuſmodi quum ignavos infamia premat, nihil miror, iſtic mortem adeo probroſæ infamique vitæ anteferri.

CAP. X.

VIdetur etiam mihi Lycurgus egregie ſanxiſſe, qua ratione virtus ad ſenectutem uſque poſſit exerceri. Nam quia judicium de ſenatoribus ad vitæ metam retulit, hoc ipſo effecit, ut ne quidem in ſenecta laudis & honeſti ſtudium negligeretur.

β'. Ἀξιάγαστον δ' αὐτοῦ καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν ἀγαθῶν γήρᾳ. θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς ψυχῆς ἀγῶνος, διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας τῆς τῶν ἀκμαζόντων ῥώμης.

γ'. Εἰκότως δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρώπων. καλοὶ μὲν γὰρ καὶ οἱ γυμνικοί, ἀλλ' οὗτοι μὲν σωμάτων εἰσίν· ὁ δὲ περὶ τῆς γεροντίας ἀγὼν ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅσῳ οὖν κρεῖττον ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν, ἢ οἱ τῶν σωμάτων ἀξιοσπουδαστότεροι.

δ'. Τόδε γε μὴν τοῦ Λυκούργου πῶς οὐ μεγάλως ἄξιον ἀγασθῆναι; ὃς ἐπειδὴ κατέμαθεν, ὅτι οἱ μὴ βουλόμενοι ἐπιμελεῖσθαι τῆς ἀρετῆς, οὐχ ἱκανοί εἰσι τὰς πατρίδας αὔξειν, ἐκεῖνος ἐν τῇ Σπάρτῃ ἠνάγκασε δημοσίᾳ πάντας, πάσας ἀσκεῖν τὰς ἀρετάς. ὥσπερ οὖν ἰδιῶται τῶν ἰδιωτῶν διαφέρουσιν ἀρετῇ, οἱ ἀσκοῦντες τῶν ἀμελούντων, οὕτω καὶ ἡ Σπάρτη

εἰκότως

2. Hoc quoque dignum admiratione, quod fortium virorum ſenectuti conſuluerit. Quia enim ſanxit ut judicandi de animo jus penes ſeniores eſſet: perfecit ut hominum vegetorum robore ſenectus ſit honoratior.

3. Ac merito ſane certamini huic inter alia mortalium certamina ſtudium maximum adhibetur. Nam & ludi gymnici ſunt illi quidem egregii, verum ad corpora pertinent; quum in hoc de ordine ſenum certamine, judicium de fortibus animis exhibetur. Quanto igitur animus corpore præſtat, tanto majoris animorum certamina, quam corporum, fieri debent.

4. Jam illud etiam in Lycurgo qui non inſignem admirationem meretur? quod quum animadvertiſſet, eos qui virtutis ſtudioſi non ſunt, non poſſe patriam majorem ad potentiam evehere; omnes Spartæ coëgerit in omni ſe genere virtutum publice exercere. Itaque ut homines privati privatis virtute præſtant, & ſtudioſi negligentibus: ſic urbibus haud dubie

cunctis

εἰκότως πασῶν τῶν πόλεων ἀρετῇ διαφέρει, μόνη δημοσίᾳ ἐπιτηδεύουσα τὴν καλοκἀγαθίαν.

έ. Οὐ γὰρ κἀκεῖνο καλόν, τὸ τῶν ἄλλων πόλεων κολαζουσῶν ἤν τίς τι ἕτερος ἕτερον ἀδικῇ, ἐκεῖνον ζημίας μὴ ἐλάττους ἐπιθεῖναι, εἴ τις φανερὸς εἴη ἀμελῶν τοῦ ὡς βέλτιστος εἶναι;

ϛ'. Ἐνόμιζε γάρ, ὡς ἔοικεν, ὑπὸ μὲν τῶν ἀνδραποδιζομένων τινάς, ἢ ἀποστερούντων τι, ἢ κλεπτόντων, τοὺς βλαπτομένους μόνον ἀδικεῖσθαι, ὑπὸ δὲ τῶν κακῶν καὶ ἀνάνδρων ὅλας τὰς πόλεις προδίδοσθαι. ὥστε εἰκότως ἔμοι γε δοκεῖ τούτοις μεγίστας ζημίας ἐπιθεῖναι.

ζ'. Ἐπέθηκε δὲ καὶ τὴν ἀνυπόστατον ἀνάγκην ἀσκεῖν ἅπασαν πολιτικὴν ἀρετήν. τοῖς μὲν γὰρ τὰ νόμιμα ἐκτελοῦσιν ὁμοίως ἅπασι τὴν πόλιν οἰκείαν ἐποίησε, καὶ οὐδὲν ὑπελογίσατο οὔτε σωμάτων οὔτε χρημάτων ἀσθένειαν. εἰ δέ τις ἀποδειλιάσειε τοῦ τὰ νόμιμα διαπονεῖσθαι, τοῦτον ἐκεῖ ἀπέδειξε

cunctis Sparta virtute præſtat, quippe quæ ſola publice honeſti ſtudio teneatur.

5. An non enim hoc quoque præclarum, quod quum urbes cæteræ plectant ſi quis in alium injurius extiterit; Lycurgus nihilo minus in eum animadvertat qui ſe negligentem in hoc declarat, ut ſit vir optimus?

6. Exiſtimabat ſcilicet, uti quidem apparet, à plagiariis, vel fraudatoribus, vel furibus, tantum eos injuria adfici, qui damnum accipiunt: ab ignavis autem, effeminatiſque totas civitates prodi. Quo fit, ut, mea ſententia, maximas his pœnas jure conſtituerit.

7. Præterea ſuis neceſſitatem quandam, quæ recuſari nequeat, colendi omnem virtutem civilem impoſuit. Nam iis qui præſcripta legibus perficerent, pariter univerſis rempublicam propriam eſſe voluit; nulla neque corporum imbecillitatis, neque tenuitatis facultatum habita ratione. At ſi quis præ ignavia defugeret labores in obeundis iis quæ leges jubent; eum Lacedæmone in numero

ἀπέδειξε μή τε νομίζεσθαι ἔτι τῶν ὁμοίων εἶναι.

η'. Ἀλλὰ γὰρ ὅτι μὲν παλαιότατοι οὗτοι οἱ νόμοι εἰσί, σαφές. ὁ γὰρ Λυκοῦργος κατὰ τοὺς Ἡρακλείδας λέγεται γενέσθαι. οὕτω δὲ παλαιοὶ ὄντες, ἔτι καὶ νῦν τοῖς ἄλλοις καινότατοί εἰσι. καὶ γὰρ τὸ πάντων θαυμαστότατον, ἐπαινοῦσι μὲν πάντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δὲ αὐτοὶ οὐδεμία πόλις ἐθέλει. καὶ ταῦτα μὲν δὴ κοινὰ ἀγαθὰ καὶ ἐν εἰρήνῃ, καὶ ἐν πολέμῳ.

ΚΕΦ. ια'.

Εἰ δέ τις βούλεται καταμαθεῖν, ὅτι καὶ εἰς τὰς στρατιὰς βέλτιον τῶν ἄλλων ἐμηχανήσατο, ἔξεστι καὶ τούτων ἀκούειν. πρῶτον μὲν τοίνυν οἱ Ἔφοροι προκηρύττουσι τὰ ἔτη, εἰς ἃ δεῖ στρατεύεσθαι καὶ ἱππεῦσι, καὶ ὁπλίταις, ἔπειτα δὲ καὶ τοῖς χειροτέχναις.

β'. Ὥστε ὅσοις περ ἐπὶ πόλεως χρῶνται ἄνθρωποι, πάντων τούτων καὶ ἐπὶ στρατιᾶς οἱ Λακεδαιμόνιοι εὐποροῦσι.

καὶ

mero parium ne quidem haberi debere decrevit.

8. Jam quod hæ leges antiquiſſimæ ſint, patet. Nam Lycurgus temporibus Herculeorum nepotum vixiſſe perhibetur. Sed licet antiquæ ſint, tamen nunc adhuc maxime novæ ſunt aliis. Etenim quod admiratione digniſſimum eſt, hujuſmodi vitæ ſtudia collaudant omnes, imitari nulla civitas cupit. Atque hæc quidem communia ſunt pacis ac belli bona.

CAP. XI.

SI quis autem cognoſcere vult, Lycurgum bellicis etiam in rebus quiddam inveniſſe rectius quam cæteri; de eo licet hæc audiat. Primum Ephori annos ætatis indicant publice, quibus in militiam tum equitibus tum peditibus armatis, atque etiam opificibus eundum ſit.

2. Quo fit, ut quorumcunque opera in urbibus homines utuntur, eorum omnium Lacedæmonii copiam in caſtris habeant.

Itidem

καὶ ὅσα δὲ ὀργάνων ἡ στρατιὰ κοινῇ δεηθείη ἂν ἁπάντων, τὰ μὲν ἁμάξῃ προστέτακται παρέχειν, τὰ δὲ ὑποζυγίῳ. οὕτω γὰρ ἥκιστ' ἂν τὸ ἐκλεῖπον διαλάθοι.

γʹ. Εἴς γε μὴν τὸν ἐν τοῖς ὅπλοις ἀγῶνα τοιάδ' ἐμηχανήσατο. στολὴν μὲν ἔχειν φοινικίδα, καὶ χαλκῆν ἀσπίδα. ταύτην νομίζων ἥκιστα μὲν, γυναικείᾳ κοινωνεῖν, * πολεμικωτάτην δ' εἶναι. καὶ γὰρ τάχιστα λαμπρύνεται, καὶ σχολαιότατα ῥυπαίνεται. ἔφηκε δὲ καὶ κομᾷν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν· νομίζων οὕτω καὶ μείζους ἂν, καὶ ἐλευθεριωτέρους, καὶ γοργοτέρους φαίνεσθαι.

δʹ. Οὕτω γε μὴν κατεσκευασμένων μόρας μὲν διεῖλεν ἓξ καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν πολιτικῶν τούτων μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς τέσσαρας, πεντηκοστῆρας ὀκτὼ, ἐνωμοτάρ-

χους

Itidem quibuſcunque inſtrumentis exercitui communiter opus eſt, ea partim plauſtris ſuppeditari mandatum eſt, partim jumentorum ſubvectione. Nam ea ratione, ſi quid deeſt, obſcurum minus eſſe poſſit.

3. Ad armorum certamina, hujuſmodi quædam excogitavit: Veſtem eos puniceam habere voluit, & ſcutum æreum. Exiſtimabat enim, illam minime cum muliebri commune quidquam habere, hoc autem bello aptiſſimum eſſe. Nam & celerrime niteſcit, & ſordes haud facile contrahit. Fecit etiam illis, qui pubertatis annos exceſſiſſent, comam alendi copiam: quod eos hoc pacto grandiores, ac vultu magis liberali, terribilioreſque viſum iri arbitraretur.

4. Quibus in hunc modum inſtructis, in ſex cohortes equitatum ac gravem armaturam diſtribuit. Quælibet autem civium cohors polemarchum unum habet, centuriones quatuor, quinquagenum præfectos octo, mani-

χους ἐκκαίδεκα. ἐκ δὲ τούτων τῶν μορῶν διὰ παρεγγυήσεως καθίστανται τοτὲ μὲν εἰς ἐνωμοτίας, τοτὲ δὲ εἰς τρεῖς, τότε δὲ εἰς ἕξ.

ε'. Ὃ δὲ οἱ πλεῖστοι οἴονται, πολυπλοκωτάτην εἶναι τὴν ἐν ὅπλοις Λακωνικὴν τάξιν, τὸ ἐναντιώτατον ὑπειλήφασι τοῦ ὄντος. εἰσὶ μὲν γὰρ ἐν τῇ Λακωνικῇ τάξει οἱ πρωτοστάται ἄρχοντες, καὶ ὁ στίχος ἕκαστος πάντ' ἔχων, ὅσα δεῖ παρέχεσθαι.

ς'. Οὕτω δὲ ῥᾴδιον ταύτην τὴν τάξιν μαθεῖν, ὡς ὅστις τοὺς ἀνθρώπους δύναται γιγνώσκειν, οὐδεὶς ἂν ἁμάρτοι. τοῖς μὲν γὰρ ἡγεῖσθαι δέδοται, τοῖς δὲ ἕπεσθαι τέτακται. αἱ δὲ παραγωγαί, ὥσπερ ὑπὸ κήρυκος, ὑπὸ τοῦ ἐνωμοτάρχου λόγῳ δηλοῦνται, ἀραιαί τε καὶ βαθύτεραι αἱ φάλαγγες γίγνονται· ὧν δὴ οὐδ' ὁπωστιοῦν χαλεπὸν μαθεῖν.

ζ. Τὸ μέντοι, κἂν ταραχθῶσι, μετὰ τοῦ παρατυχόντος

ὁμοίως

pulorum duces ſexdecim. Ex his vero cohortibus, ubi ſic imperatur, nonnunquam milites per manipulos diſponuntur, nonnunquam in ternos, nonnunquam in ſenos.

5. Quod autem complures exiſtimant, armatorum aciem Laconicam valde implicatam eſſe: ii vero ſequius opinantur quam ſeſe res habeat. Nam in acie Laconica præfecti loco principe conſiſtunt, & ſeries quælibet habet omnia, quibus ſuppeditatis opus eſt.

6. Tam facile eſt autem, hanc aciei rationem intelligere; ut nemo, qui homines queat agnoſcere, poſſit unquam errare. Nam aliis præcedendi munus datum eſt, aliis imperatum, ut ſequantur. Ordinum vero promotiones, tanquam à præcone, manipularis præfecti verbis indicantur; fiuntque phalanges tum rariores tum denſiores; quarum rerum nihil omnino cognitu eſt difficile.

7. Quod autem hæc acies, etiamſi turbata fuerit, cum obvio

ὁμοίως μάχεσθαι· ταύτην δὲ τὴν τάξιν, οὐκέτι ῥᾴδιόν ἐστι μαθεῖν, πλὴν τοῖς ὑπὸ τῶν Λυκούργου νόμων πεπαιδευμένοις.

η΄. Εὐπορώτατα δὲ καὶ ἐκεῖνα Λακεδαιμόνιοι ποιοῦσι, τὰ τοῖς ὁπλομάχοις πάνυ δοκοῦντα χαλεπὰ εἶναι. ὅταν μὲν γὰρ ἐπὶ κέρως πορεύωνται, κατ' οὐρὰν δήπου ἐνωμοτία ἕπεται· ἐὰν δ' ἐν τῷ τοιούτῳ ἐκ τοῦ ἐναντίου πολεμία φάλαγξ ἐπιφανῇ, τῷ ἐνωμοτάρχῃ παρεγγυᾶται εἰς μέτωπον * παρ' ἀσπίδα καθίστασθαι· καὶ διὰ παντὸς οὕτως, ἔστ' ἂν ἡ φάλαγξ ἐναντία καταστῇ. ἢν γε μὴν οὕτως ἐχόντων ἐκ τοῦ ὄπισθεν οἱ πολέμιοι ἐπιφανῶσιν, ἐξελίττεται ἕκαστος ὁ στίχος, ἵνα οἱ κράτιστοι ἐναντίοι ἀεὶ τοῖς πολεμίοις ὦσιν.

θ΄. Ὅτι δὲ ὁ ἄρχων εὐώνυμος γίγνεται, οὐδ' ἐν τούτῳ μειονεκτεῖν ἡγοῦνται, ἀλλ' ἔστιν ὅτε καὶ πλεονεκτεῖν. εἰ γάρ τινες κυκλοῦσθαι ἐπιχειροῖεν, οὐκ ἂν κατὰ τὰ γυμνὰ ἀλλὰ κατὰ τὰ ὡπλισμένα περιβάλλοιεν ἄν. ἢν δέ ποτε ἕνεκά τινος δοκῇ

συμφέρειν

vio quovis ſimiliter dimicari poſſit: id intellectu facile non eſt, extraquam iis qui Lycurgi legibus inſtituti fuerint.

8. Faciliſſima ſunt & ea Lacedæmoniis factu, quæ vel gladiatoribus per eſſe difficilia videntur. Nam quum in cornu pergunt, ſequitur à tergo manipularia ſeries. At ſi phalanx hoſtilis ex adverſo interea ſe oſtentaverit, manipulario duci denunciatur, ut ad frontem clypeum verſus conſiſtat; atque ita fit penitus, donec phalanx hoſtibus adverſa ſteterit. Jam ſi acie ipſorum hoc pacto diſpoſita, hoſtes à tergo venientes apparuerint; quælibet ſeries evolvitur, ut fortiſſimi quique ſemper hoſtibus oppoſiti ſint.

9. Quod ſi aliquando dux agminis ad latus lævum ſit, ne tum quidem conditione ſe deteriore eſſe putant, immo nonnunquam meliore. Nam ſi qui eos undique cingere conarentur, non verſus partes nudas ſed armis munitas eos circumdarent. Si certa de cauſſa viſum aliquando

quando

συμφέρειν τὸν ἡγεμόνα δεξιὸν κέρας ἔχειν, στρέψαντες τὸ ἄγημα ἐπὶ κέρας, ἐξελίττουσι τὴν φάλαγγα, ἔστ' ἂν ὁ μὲν ἡγεμὼν δεξιὸς ᾖ, ἡ δὲ οὐρὰ εὐώνυμος γένηται.

ι. Ην δ' αὖ ἐκ τῶν δεξιῶν πολεμίων τάξις ἐπιφαίνηται ἐπὶ κέρως πορευομένων, οὐδὲν ἄλλο πραγματεύονται ἢ τὸν λόχον ἕκαστον, ὥσπερ τριήρη, ἀντίπρωρον τοῖς ἐναντίοις στρέφουσι· καὶ οὕτως αὖ γίγνεται ὁ κατ' οὐρὰν λόχος * παρὰ δόρυ. Ἢν γε μὴν κατὰ τὰ εὐώνυμα πολέμιοι προσίωσιν, οὐδὲ τοῦτο ἐῶσιν, ἀλλ' ἀπωθοῦσιν, ἢ ἐναντίους ἀντιπάλοις τοὺς λόχους στρέφουσι· καὶ οὕτως αὖ ὁ κατ' οὐρὰν λόχος παρ' ἀσπίδα καθίσταται.

ΚΕΦ. ιβ΄.

ΕΡῶ δὲ καὶ ᾗ στρατοπεδεύεσθαι ἐνόμισε χρῆναι Λυκοῦργος. διὰ μὲν γὰρ τὸ τὰς γωνίας τοῦ τετραγώνου ἀχρήστους εἶναι, κύκλον ἐστρατοπεδεύσατο,

εἰ

quando ſit expedire, ut cornu dextrum ductor obtineat; verſo in cornu agmine phalangem evolvunt, donec ad dextram ſit ductor, & agmen extremum ad lævam.

10. Rurſus ſi ab hoſtibus ad dextram conſtitutis acies ſeſe oſtenderit progredientium in cornu, nihil agunt aliud, quam quod centurias ſingulas, triremis inſtar, hoſtibus velut objecta prora, convertunt; qua ratione ſeries ea, quæ extremo eſt in agmine, haſtam verſus conſtituitur. At ſi à lævo latere acceſſerint hoſtes, ne hoc quidem permittunt; ſed repellunt eos, vel adverſas ſeries adverſariis obvertunt. Qua ratione fit, ut extremi agminis ſeries clypeum verſus conſtituatur.

CAP. XII.

DIcam etiam, quo pacto Lycurgus caſtra eſſe metanda cenſuerit. Nam quia quadrati agminis anguli ſunt inutiles, in orbem caſtra ponebat,

extra

εἰ μὴ ὄρος ἀσφαλὲς εἴη, ἢ τεῖχος, ἢ ποταμὸν ὄπισθεν ἔχοιεν.

β'. Φυλακάς γε μὴν ἐποίησε μεθημερινὰς, τὰς μὲν παρὰ τὰ ὅπλα εἴσω βλεπούσας· οὐ γὰρ πολεμίων ἕνεκα, ἀλλὰ φίλων αὗται καθίστανται. τοὺς γε μὴν πολεμίους ἱππεῖς φυλάττουσιν ἀπὸ χωρίων, ὧν ἂν ἐκ πλείστου προορῷεν.

γ'. Εἰ δέ τις προΐοι νύκτωρ ἔξω τῆς φάλαγγος, ἐνόμισεν ὑπὸ Σκιριτῶν προφυλάττεσθαι, νῦν δ' ἤδη καὶ ὑπὸ ξένων, αὐτῶν τινων συμπαρόντων.

δ'. Τὸ δὲ, ἔχοντας τὰ δόρατα ἀεὶ περιϊέναι, εὖ καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι τοῦ αὐτοῦ ἕνεκά ἐστιν, οὗπερ καὶ τοὺς δούλους εἴργουσιν ἀπὸ τῶν ὅπλων. καὶ τοὺς ἐπὶ τὰ ἀναγκαῖα ἀπιόντας οὐ δεῖ θαυμάζειν, ὅτι οὔτε ἀλλήλων, οὔτε τῶν ὅπλων πλέον, ἢ ὅσον μὴ λυπεῖν ἀλλήλους, ἀπέρχονται. καὶ γὰρ ταῦτα ἀσφαλείας ἕνεκα ποιοῦσιν.

ε'. Μεταστρατοπεδεύονταί γε μὴν πυκνὰ, καὶ τοῦ σίνεσθαι

extraquam ſi monte tuti eſſent, vel à tergo murum fluviumve haberent.

2. Excubias quidem diurnas inſtituit, quæ interius caſtra verſus ſpectarent. Nam amicorum, non hoſtium cauſſa, illæ conſtituuntur. Hoſtes ab equitibus obſervantur iis è locis de quibus proſpici longiſſime poteſt.

3. Quod ſi quis noctu extra phalangem progrediatur, à Sciritis ea de cauſſa inſtituit habendas excubias; & hoc tempore præſtant id mercenarii milites quibus aliqui Lacones adſunt.

4. Jam quod cum haſtis ſemper obverſantur, id ſciendum eadem de cauſſa fieri, ob quam ſervos etiam ab armis arcent. Præterea mirum videri non debet, eos qui ad naturæ neceſſaria ſecedunt, neque ab ſe invicem, neque ab exercitu longius progredi, quam uti caveant, ne ſibi mutuo moleſtiam creent. Hæc enim ſecuritatis cauſſa faciunt.

5. Caſtra ſæpius mutant, partim ut

σίνεσθαι τοὺς πολεμίους ἕνεκα, καὶ τοῦ ὠφελεῖν τοὺς φίλους· καὶ γυμνάζεσθαι δὲ προαγορεύεται ὑπὸ τοῦ νόμου ἅπασι Λακεδαιμονίοις, ὅσοιπερ ἂν στρατεύωνται· ὥστε μεγαλοπρεπεστέρους μὲν αὐτοὺς ἐφ' ἑαυτοῖς γίγνεσθαι, ἐλευθεριωτέρους δὲ τῶν ἄλλων φαίνεσθαι. δεῖ δὲ εἴτε περίπατον, εἴτε δρόμον ἐλάσσω ποιεῖσθαι, ἢ ὅσον ἂν ἡ μόρα ἐφήκῃ, ὅπως μηδεὶς τῶν αὑτοῦ ὅπλων πόρρω γίγνηται.

ϛʹ. Μετὰ δὲ τὰ γυμνάσια καθίζειν μὲν ὁ πρῶτος πολέμαρχος κηρύττει (ἔστι δὲ τοῦτο ὥσπερ ἐξέτασις) ἐκ τούτου δὲ ἀριστοποιεῖσθαι, καὶ ταχὺ τὸν πρόσκοπον ὑπολύεσθαι. ἐκ τούτου δ' αὖ διατριβαὶ καὶ ἀναπαύσεις πρὸ τῶν ἑσπερινῶν γυμνασίων.

ζʹ. Μετά γε μὴν ταῦτα δειπνοποιεῖσθαι κηρύττεται, καὶ ἐπειδὰν ᾄσωσιν εἰς τοὺς θεοὺς οἷς ἂν κεκαλλιερηκότες ὦσιν, ἐπὶ τῶν ὅπλων ἀναπαύεσθαι. ὅτι δὲ πολλὰ γράφω, οὐ δεῖ θαυμάζειν. ἥκιστα

γὰ

ut hoſtibus detrimentum adferant, partim ut amicis proſint. Etiam à lege mandatur Lacedæmoniis omnibus, qui expeditionibus interſunt, ut exercitiis utantur. Quo fit, ut ipſi magis inter ſe magnanimi evadant, ac ſupra cæteros indole magis eſſe liberali videantur. Locus exercitationis & curſus intra id ſpatium neceſſario deſcribitur, quouſque cohors ipſa pertinet, ne quis ab ſuis armis recedat longius.

6. Peractis exercitiis, polemarchus primus, uti ſedeant, per præconem edicit: quod quidem luſtrationis cujuſdam inſtar eſt: deinde prandium uti ſumant, ac ſpeculatorem mox dimittunt. Hinc inter ſe converſantur milites, ac ſe quieſcendo recreant ante veſpertina exercitia.

7. Secundum hæc per præconem denunciatur, ſumendam eſſe coenam: & poſteaquam hymnos Diis cecinerint, quibus eſt facta res ſacra, armis incubando quietem capiendam. Nemo vero miretur, tam multa me ſcribere.

Nam

ὑπὸ Λακεδαιμονίοις εὕροι ἄν τις παραλελειμμένα ἐν τοῖς στρατιωτικοῖς, ὅσα δεῖ ἐπιμελείας.

ΚΕΦ. ιγ'.

Διηγήσομαι δὲ καὶ ἣν ἐπὶ στρατιᾶς ὁ Λυκοῦργος βασιλεῖ δύναμιν καὶ τιμὴν παρεσκεύασε. πρῶτον μὲν γὰρ ἐπὶ φρουρᾶς τρέφει ἡ πόλις βασιλέα καὶ τοὺς σὺν αὐτῷ. συσκηνοῦσι δὲ αὐτῷ οἱ πολέμαρχοι, ὅπως ἀεὶ συνόντες, μᾶλλον καὶ κοινοβουλῶσιν, ἤν τι δέωνται. συσκηνοῦσι δὲ καὶ ἄλλοι τρεῖς ἄνδρες τῶν ὁμοίων. οὗτοι τούτοις ἐπιμελοῦνται πάντων τῶν ἐπιτηδείων, ὡς μηδεμία ἀσχολία ᾖ αὐτοῖς τῶν πολεμικῶν ἐπιμελεῖσθαι.

β'. Επαναλήψομαι δὲ ὡς ἐξορμᾶται σὺν στρατιᾷ ὁ βασιλεύς. θύει μὲν γὰρ πρῶτον οἴκοι ὢν Διῒ ἀγήτορι, καὶ τοῖς σὺν αὐτῷ. ἢν δὲ ἐνταῦθα καλλιερήσῃ,

λαβὼν

Nam minime quis à Lacedæmoniis omiſſum aliquid reperiat in re militari, quod quidem curandum veniat.

CAP. XIII.

Commemorabo etiam, quam Lycurgus regi poteſtatem & dignitatem in exercitu adſignaverit. Primo regem cinctum ſatellitio, cum iis qui adſint regi, civitas alit. In ejus contubernio ſunt polemarchi, ut ſemper illi præſto ſint communicandorum conſiliorum cauſſa, ſi quidem uſus ita poſtulet. In eodem regis contubernio viri præterea tres ex parium numero degunt, qui quidem eis omnia neceſſaria procurant; ne ab ulla impediantur occupatione, quominus res bellicas ſtudioſe tractent.

2. Repetam vero altius, quo pacto Rex cum copiis in expeditionem domo proficiſcatur. Primum domi adhuc ſacrum Jovi ductori, & adjunctis ei Diis facit: ac ſi litatum illic fuerit,

ignifer

λαβὼν ὁ πυρφόρος πῦρ ἀπὸ τοῦ βωμοῦ, προηγεῖται ἐπὶ τὰ ὅρια τῆς χώρας. ὁ δὲ βασιλεὺς ἐκεῖ αὖ θύεται Διῒ καὶ Ἀθηνᾷ.

γ'. Ὅταν δὲ ἀμφοῖν τούτοιν τοῖν θεοῖν καλλιερηθῇ, τότε διαβαίνει τὰ ὅρια τῆς χώρας. καὶ τὸ πῦρ μὲν ἀπὸ τούτων τῶν ἱερῶν προηγεῖται οὔποτε ἀποσβεννύμενον, σφάγια δὲ παντοῖα ἕπεται· ἀεὶ δὲ ὅταν θύηται, ἄρχεται μὲν τούτου τοῦ ἔργου ἔτι κνεφαῖος, προλαμβάνειν βουλόμενος τὴν τοῦ Θεοῦ εὔνοιαν.

δ'. Πάρεισι δὲ περὶ τὴν θυσίαν πολέμαρχοι, λοχαγοί, πεντηκοστῆρες, ξένων στρατίαρχοι, στρατοῦ σκευοφορικοῦ ἄρχοντες, καὶ τῶν ἀπὸ τῶν πόλεων δὲ στρατηγῶν ὁ βουλόμενος.

ε'. Πάρεισι δὲ καὶ τῶν ἐφόρων δύο, οἳ πολυπραγμονοῦσι μὲν οὐδὲν, ἢν μὴ ὁ βασιλεὺς προσκαλῇ· ὁρῶντες δὲ ὅ,τι ποιεῖ ἕκαστος, πάντας σωφρονίζουσιν, ὡς τὸ εἰκός.

ς'. Ὅταν δὲ τελεσθῇ τὰ ἱερὰ, ὁ βασιλεὺς προσκαλέσας πάντας, παραγγέλλει τὰ ποιητέα. ὥσ

ὁρῶν

ignifer [ſive fecialis] ſublato ab ara igne, ad regionis fines præcedit, ubi Rex Jovi Minervæque rurſum ſacrificat.

3. Ubi Diis hiſce litatum ambobus eſt, tum deinde limites regionis tranſit. Atque ab his ſacris ſublatus ignis præfertur, & nunquam extinguitur, ſequente omni hoſtiarum genere. Quoties autem Rex ſacrificat, primo id crepuſculo facere occipit, quaſi benevolentiam Dei cupiens antevertere.

4. Adſunt ſacrificio polemarchi, centuriones, quinquagenum præfecti, militum ſtipendiariorum duces, impedimentis præfecti, ex civitatum denique prætoribus cui lubet.

5. Adſunt præterea duo Ephori, qui nihil illi quidem agunt curioſius, niſi à rege adhibiti; ſed conſiderantes tamen, quid quiſque faciat, omnes (ceu fieri par eſt) modeſtiores reddunt.

5. Poſteàquam facta eſt res ſacra, Rex arceſſitis omnibus, quid faciundum ſit, imperat.

Quo

ὁρῶν ταῦτα ἡγήσαιο ἄν, τοὺς μὲν ἄλλους αὐτοσχεδιαστὰς εἶναι τῶν στρατιωτικῶν, Λακεδαιμονίους δὲ μόνους τῷ ὄντι τεχνίτας τῶν πολεμικῶν.

ϛ'. Ἐπειδὰν γε μὴν ἡγῆται ὁ βασιλεὺς, ἢν μὲν μηδεὶς ἐναντίος φαίνηται, οὐδεὶς αὐτοῦ πρόσθεν πορεύεται, πλὴν Σκιρῖται, καὶ οἱ προερευνώμενοι ἱππεῖς· ἢν δέ ποτε μάχην οἴωνται ἔσεσθαι, λαβὼν τὸ ἄγημα τῆς πρώτης μόρας ὁ βασιλεὺς, ἄγει συστρέψας ἐπὶ δόρυ, ἔστ' ἂν γένηται ἐν μέσῳ δυοῖν μόραιν, καὶ δυοῖν πολεμάρχοιν.

ζ'. Οὓς δὲ δεῖ ἐπὶ τούτοις τετάχθαι, ὁ πρεσβύτατος τῶν περὶ δημοσίαν συντάττει. εἰσὶ δὲ οὗτοι, ὅσοι ἂν σύσκηνοι ὦσι τῶν ὁμοίων, καὶ μάντεις, καὶ ἰατροὶ, καὶ αὐληταὶ, οἱ τοῦ * στρατοῦ .... ἄρχοντες, καὶ ἐθελούσιοι ἤν τινες παρῶσιν. ὥστε τῶν δεομένων γίγνεσθαι, οὐδὲν ἀπορεῖται. οὐδὲν γὰρ ἀπρόσκεπτόν ἐστι.

η'. Καλὰ

Quo fit, ut ſi hæc videas, exiſtimes cæteros quidem homines ſtudio ſubitario rem militarem tractare; Lacedæmonios autem ſolos reapſe bellicorum operum artifices eſſe.

6. Poſteaquam Rex ducere copias cœpit, ſi quidem hoſtis ſe nullus oſtendat; nemo ipſum præcedit, præter Sciritas, & equites exploratores. Sin prœlium committendum eſſe putant, Rex agmine primæ cohortis ſecum ſumto, converſoque ad haſtam pergit, donec medio inter duas cohortes ac duos polemarchos loco ſit.

7. Qui vero poſt hos collocandi ſunt, illos maximus natu inter eos qui ad tabernaculum publicum pertinent, ordinat. Sunt autem hi, quicunque contubernio cum paribus eodem utuntur, & haruſpices, & medici, & tibicines, & copiarum apud impedimenta præfecti, & ſi qui ſponte ſua expeditioni adſunt. Quo fit, ut eorum quæ fieri neceſſe eſt, nihil deſideretur: quippe quod nihil non ante proſpectum ſit.

η'. Καλὰ δὲ καὶ ὠφέλιμα τάδε, ὡς ἐμοὶ δοκεῖ, ἐμηχανήσατο Λυκοῦργος εἰς τὸν ἐν ὅπλοις ἀγῶνα. ὅταν γὰρ ὁρώντων ἤδη τῶν πολεμίων χίμαιρα σφαγιάζηται, αὐλεῖν τε πάντας τοὺς παρόντας αὐλητὰς νόμος, καὶ μηδένα Λακεδαιμονίων ἀστεφάνωτον εἶναι· καὶ ὅπλα δὲ λαμπρύνεσθαι προαγορεύεται.

θ'. Ἔξεστι δὲ τῷ νέῳ, καὶ κεκριμένῳ εἰς μάχην συνιέναι, καὶ φαιδρὸν εἶναι, καὶ εὐδόκιμον. καὶ παρακελεύονται δὲ τῷ ἐνωμοτάρχῃ. οὐδ' ἀκούεται γὰρ εἰς ἑκάστην πᾶσαν τὴν ἐνωμοτίαν ἀφ' ἑκάστου ἐνωμοτάρχου ἔξω. ὅπως δὲ καλῶς γίγνηται, πολεμάρχῳ δεῖ μέλειν.

ι'. Ὅταν γε μὴν καιρὸς δοκῇ εἶναι στρατοπεδεύεσθαι, τούτου μὲν κύριος βασιλεύς, καὶ τοῦ δεῖξαί γε, ὅπου δεῖ. τὸ μέντοι πρεσβείας ἀποπέμπεσθαι καὶ φιλίας καὶ πολεμίας, τοῦτ' αὖ βασιλέως. καὶ ἄρχονται μὲν πάντες ἀπὸ βασιλέως, ὅταν βούλωνται πρᾶξαί τι.

ια'. Ην

8. Etiam hæc præclare Lycurgus utiliterque, mea ſane ſententia, ad armatum certamen excogitavit. Nam quum jam hoſtium in conſpectu capra mactatur, lege conſtitutum eſt, ut omnes, quotquot adſunt, tibicines tibia canant, ac nemo Lacedæmoniorum ſerto careat. Etiam ut arma polita niteant, edicitur.

9. Juveni quoque, ac delecto ad pugnam ineundam permittitur, ut hilarem & egregium ſe gerat. Atque hi etiam manipularium præfectum incitando cohortantur. Nam à quovis manipularium præfecto exterius ad unumquemque manipulum nihil auditur. Ut autem omnia recte fiant, polemarchi curæ committitur.

10. Quodnam tempus eſſe metandi caſtra videatur, regis eſt in arbitrio ſitum: itemque locum commonſtrandi. Præterea ſive fœderatorum, ſeu hoſtium dimittere legationes, ad regem pertinet. Quoties aliquid agendum eſt, omnes à rege initium ſumunt.

11. Si

ια'. Ην δ' οὖν δίκης δεόμενός τις ἔλθῃ, πρὸς Ἑλλανοδίκας τοῦτον ὁ βασιλεὺς ἀποπέμπει· ἢν δὲ χρημάτων, πρὸς ταμίας· ἢν δὲ ληΐδα ἄγων, πρὸς λαφυροπώλας. οὕτω δὲ πραττομένων, βασιλεῖ οὐδὲν ἄλλο ἔργον καταλείπεται ἐπὶ φρουρᾶς, ἢ ἱερεῖ μὲν τὰ πρὸς τοὺς θεοὺς εἶναι, στρατηγῷ δὲ τὰ πρὸς τοὺς ἀνθρώπους.

ΚΕΦ. ιδ'.

Εἰ δέ τις με ἔροιτο, εἰ ἔτι καὶ νῦν μοι δοκοῦσιν οἱ Λυκούργου νόμοι ἀκίνητοι διαμένειν, τοῦτο μὰ Δία οὐκ ἂν ἔτι θρασέως εἴποιμι.

β'. Οἶδα γὰρ πρότερον μὲν Λακεδαιμονίους αἱρουμένους οἴκοι τὰ μέτρια ἔχοντας ἀλλήλοις συνεῖναι μᾶλλον, ἢ ἁρμόζοντας ἐν ταῖς πόλεσι, καὶ κολακευομένους διαφθείρεσθαι.

γ'. Καὶ

11. Si quis judicio diſceptaturus ad regem veniat, ad Hellanodicas [ſive Græcorum judices] à rege remittitur: ſi pecunia quis egeat, ad quæſtores: ſin prædam adferat, ad manubiarum diſtractores. Quæ quum ita gerantur, regi nihil aliud in exercitu reſtat negotii, quam ut rerum divinarum reſpectu ſit ſacerdos; humanarum vero, imperator.

CAP. XIV.

Quod ſi quis me roget, an hac etiam tempeſtate Lycurgi leges immotæ mihi permanere videantur: id profecto non audacter dixero.

2. Nam ſcio Lacedæmonios pridem maluiſſe domi modicis cum facultatibus conſuetudine mutua uti, quam in præfecturis civitatum per adſentationes degenerare.

3. Scio

γ'. Καὶ πρόσθεν μὲν οἶδα αὐτοὺς φοβουμένους, χρυσίον ἔχοντας φαίνεσθαι· νῦν δ' ἔστιν οὓς καὶ καλλωπιζομένους ἐπὶ τῷ κεκτῆσθαι.

δ'. Ἐπίσταμαι δὲ καὶ πρόσθεν τούτου ἕνεκα ξενηλασίας γιγνομένας, καὶ ἀποδημεῖν οὐκ ἐξὸν, ὅπως μὴ ῥᾳδιουργίας οἱ πολῖται ἀπὸ τῶν ξένων ἐμπίπλαιντο· νῦν δ' ἐπίσταμαι τοὺς δοκοῦντας πρώτους εἶναι, ἐσπουδακότας, ὡς μηδέποτε παύωνται ἁρμόζοντες ἐπὶ ξένης.

ε'. Καὶ ἦν μὲν ὅτε ἐπεμελοῦντο, ὅπως ἄξιοι εἶεν ἡγεῖσθαι· νῦν δὲ πολὺ μᾶλλον πραγματεύονται, ὅπως ἄρξουσιν, ἢ ὅπως ἄξιοι τούτων ἔσονται.

ϛ'. Τοιγαροῦν οἱ Ελλῆνες πρότερον μὲν ἰόντες εἰς Λακεδαίμονα, ἐδέοντο αὐτῶν ἡγεῖσθαι ἐπὶ τοὺς δοκοῦντας ἀδικεῖν· νῦν δὲ πολλοὶ παρακαλοῦσιν ἀλ-

λήλοις

3. Scio metuiſſe antehac eos ſibi, ne aurum poſſidere deprehenderentur: jam nonnulli ſunt, qui hoc ipſo ſemet oſtentant, quod aurum poſſideant.

4. Præterea ſcio peregrinos ob eam cauſſam olim ejectos fuiſſe, neque conceſſas peregrinationes; ne ab exteris cives improbitatem haurirent. Nunc mihi conſtat, eos qui loco videntur apud ipſos eſſe principe, ſtudioſe in hoc incubuiſſe; ut nunquam non apud exteros urbium præfecti eſſent.

5. Fuit item aliquando tempus, quum in id operam dabant, ut principatu digni eſſent: nunc id magis enituntur, ut imperent, quam ut imperio digni ſint.

6. Itaque fit, ut Græci, qui olim Spartam profecti Lacedæmonios orabant, ut duces adverſus illos eſſent, qui injuſte agere viderentur, nunc magna ex parte ſeipſos ad impediendum cohortentur, ne ad Lace-

dæmonios

λήλοις ἐπὶ τὸ διακωλύειν ἄρξαι πάλιν αὐτούς.

ζ'. Οὐδὲν μέντοι δεῖ θαυμάζειν τούτων τῶν ἐπιψόγων αὐτοῖς γιγνομένων, ἐπειδὴ φανεροί εἰσιν οὔτε τῷ θεῷ πειθόμενοι, οὔτε τοῖς Λυκούργου νόμοις.

ΚΕΦ. ιε'.

Βούλομαι δὲ καὶ, ἃς βασιλεῖ πρὸς τὴν πόλιν συνθήκας ὁ Λυκοῦργος ἐποίησε, διηγήσασθαι. μόνη γὰρ δὴ αὕτη ἀρχὴ διατελεῖ οἵαπερ ἐξ ἀρχῆς κατεστάθη· τὰς δὲ ἄλλας πολιτείας εὕροι ἄν τις μετακεκινημένας, καὶ ἔτι καὶ νῦν μετακινουμένας.

β'. Ἔθηκε γὰρ θύειν μὲν βασιλέα πρὸ τῆς πόλεως τὰ δημόσια ἅπαντα, ὡς ἀπὸ τοῦ θεοῦ ὄντα· καὶ στρατιὰν ὅποι ἂν ἡ πόλις ἐκπέμπῃ, ἡγεῖσθαι.

γ'. Ἔδωκε

dæmonios rerum ſumma redeat.

7. Neque vero mirum videri debet, quod in has reprehenſiones incurrant; quando palam eſt, eos neque Apollini, neque Lycurgi legibus parere.

CAP. XV.

Lubet etiam commemorare, quæ pacta Lycurgus inter regem & civitatem conſtituit. Nam ſolus hic principatus in eodem permanet ſtatu, quo fuit ab initio: cæteras adminiſtrationum publicarum formas vel immutatas, vel etiam nunc aliquis mutari comperiat.

2. Sanxit igitur, ut Rex pro ſalute civitatis rem divinam in omnibus ſacris publicis faceret, veluti ortus à Deo: ut, quocumque civitas militum copias mitteret, ducis munere fungeretur.

3. Ad-

γ΄. Εδωκε δὲ καὶ γέρα ἀπὸ τῶν θυομένων λαμβάνειν, καὶ γῆν τι ἐν πολλαῖς τῶν περιοίκων πόλεων ἀπέδειξεν ἐξαίρετον τοσαύτην, ὥστε μήτε δεῖσθαι τῶν μετρίων, μήτε πλούτῳ ὑπερφέρειν.

δ΄. Οπως δὲ καὶ οἱ βασιλεῖς ἔξω σκηνοῖεν, σκηνὴν αὐτοῖς δημοσίαν ἀπέδειξε. καὶ διμοιρίᾳ γε ἐπὶ τῷ δείπνῳ ἐτίμησεν, οὐχ ἵνα διπλάσια καταφάγοιεν, ἀλλ' ἵνα καὶ ἀπὸ τοῦδε τιμῆσαι ἔχοιεν εἴ τινα βούλοιντο.

έ. Εδωκε δ' αὖ καὶ συσκήνους δύω ἑκατέρῳ προσελέσθαι, οἳ δὴ καὶ Πύθιοι καλοῦνται. ἔδωκε δὲ καὶ πασῶν τῶν συῶν ἀπὸ τόκου χοῖρον λαμβάνειν, ὡς μήποτε ἀπορήσαι βασιλεὺς ἱερῶν, ἤν τι δεηθῇ θεοῖς συμβουλεύσασθαι.

ϛ΄. Καὶ πρὸς τῇ οἰκίᾳ δὲ λίμνη ὕδατος

ἀφθονίαν

3. Adtribuit hoc quoque, ut de victimis cæſis honoris cauſa quædam ipſe caperet. Præterea tantum agri eximii multis in urbibus finitimis ſecrevit, ut mediocrium quidem illi facultatum copia non deſit, non tamen opibus antecellat.

4. Atque uti reges etiam foris uti contubernio poſſent, ad hoc eis tabernaculum publicum ordinavit, eumque honorem illic addidit, ut in cœna duplex ipſis portio cederet: non id quidem, ut duplo plus quam alii, vorarent; ſed ut aliquid inde honoris cauſa dare poſſent, cui libuiſſet.

5. Præterea regi utrique poteſtatem deligendi contubernales binos conceſſit, quos Pythios vocant. Permiſit etiam, ut de omnium ſcrofarum partu porcum acciperet, ne unquam Rex victimis careret, ſi qua in re Dii conſulendi eſſent.

6. Propter domum regiam ſtagnum

ἀφθονίαν παρέχει. ὅτι δὲ καὶ τοῦτο πρὸς πολλὰ χρήσιμον, οἱ μὴ ἔχοντες αὐτὸ μᾶλλον γιγνώσκουσι. καὶ ἕδραις δὲ πάντες ὑπανίστανται βασιλεῖ, πλὴν οὐκ Ἔφοροι ἀπὸ τῶν Ἐφορικῶν δίφρων.

ζʹ. Καὶ ὅρκους δὲ ἀλλήλοις κατὰ μῆνα ποιοῦνται, Ἔφοροι μὲν ὑπὲρ τῆς πόλεως, βασιλεὺς δ' ὑπὲρ ἑαυτοῦ. ὁ δὲ ὅρκος ἐστὶ τῷ μὲν βασιλεῖ, κατὰ τοὺς τῆς πόλεως κειμένους νόμους βασιλεύσειν· τῇ δὲ πόλει, ἐμπεδορκοῦντος ἐκείνου ἀστυφέλικτον τὴν βασιλείαν παρέξειν.

ηʹ. Αὗται μὲν οὖν αἱ τιμαὶ οἴκοι ζῶντι βασιλεῖ δέδονται, οὐδέν τι πολὺ ὑπερφέρουσαι τῶν ἰδιωτικῶν. οὐ γὰρ ἐβουλήθη οὔτε τοῖς βασιλεῦσι τυραννικὸν φρόνημα παραστῆσαι, οὔτε τοῖς πολίταις φθόνον ἐμποιῆσαι τῆς δυνάμεως.

θʹ. Αἱ δὲ τελευτήσαντι τιμαὶ βασιλεῖ δέδονται, τῇδε βούλονται δηλοῦν οἱ Λυκούργου νόμοι, ὅτι

gnum aquæ copiam ſuppeditat. Quod quidem ad multa per eſſe utile, magis intelligunt ii qui eo carent. Etiam de ſella regi adſurgunt omnes, præterquam Ephori de ſellis Ephoricis.

7. Menſibus ſingulis jurejurando ſe invicem adſtringunt, Ephori quidem nomine civitatis, Rex autem ſuo. Regis jusjurandum eſt, regnum ſe geſturum ex præſcripto legum latarum: civitatis, conſervaturam ſe regnum ipſius inconcuſſum, ſi quidem jusjurandum hoc ſancte ſervaret.

8. Atque hi honores in patria regi, quamdiu vivit, conceſſi ſunt; non multum privatorum honoribus potiores. Etenim neque regibus animos addere tyrannicos voluit, neque civibus eorum poteſtatem inviſam reddere.

9. Qui autem regi mortuo conceſſi ſunt honores, iis Lycurgi leges indicare volunt, non

ὅτι οὐχ ὡς ἀνθρώποις, ἀλλ' ὡς ἥρωας τοὺς Λακεδαιμονίων βασιλεῖς προτετιμήκασιν.

ΞΕΝΟ-

non ſe Lacedæmoniorum reges ut homines, ſed tanquam heroas honore eximio adfeciſſe.

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΘΗΝΑΙΩΝ ΠΟΛΙΤΕΙΑ.

ΚΕΦ. α΄.

ΠΕΡΙ δὲ τῆς Αθηναίων πολιτείας, ὅτι μὲν εἵλοντο τοῦτον τὸν τρόπον τῆς πολιτείας, οὐκ ἐπαινῶ διὰ τόδε· ὅτι ταῦθ᾽ ἑλόμενοι, εἵλοντο τοὺς πονηροὺς ἄμεινον πράττειν ἢ τοὺς χρηστούς. διὰ μὲν οὖν τοῦτο οὐκ ἐπαινῶ. ἐπεὶ δὲ ταῦτα οὕτως ἔδοξεν αὐτοῖς, ὡς εὖ διασώζονται τὴν πολιτείαν, καὶ τἄλλα διαπράττονται, ἃ δοκοῦσιν ἁμαρτάνειν τοῖς ἄλλοις Ελλησι, τοῦτ᾽ ἀποδείξω.

β΄. Πρῶτον μὲν οὖν τοῦτο ἐρῶ, ὅτι δικαίως αὐτόθι καὶ οἱ πένητες καὶ ὁ δῆμος πλέον ἔχει τῶν γενναίων καὶ τῶν πλουσίων, διὰ τόδε,

XENOPHONTIS

ATHENIENSIUM RESPUBLICA.

CAP. I.

JAM de Athenienſium republica, quod eam reipublicæ formam ſecuti ſint, propterea non laudo; quia dum illam voluerunt, voluerunt improbos homines meliori eſſe conditione, quam probos. Hanc itaque ob cauſam non laudo. Quia vero ita eis viſum eſt, equidem oſtendam, rempublicam eos ſuam incolumen conſervare, atque etiam alia perficere, in quibus aberrare Græcis cæteris exiſtimentur.

2. Primum igitur hoc dicam, merito pauperes ac plebem ibi plus poſſe, quam nobiles & divites, idque ob hanc cauſam,

ὅτι ὁ δῆμός ἐστιν ὁ ἐλαύνων τὰς ναῦς, καὶ ὁ τὴν δύναμιν περιτιθεὶς τῇ πόλει· καὶ οἱ κυβερνῆται, καὶ οἱ κελευσταί, καὶ οἱ πεντηκόνταρχοι, καὶ οἱ πρωρᾶται, καὶ οἱ ναυπηγοί, οὗτοί εἰσιν οἱ τὴν δύναμιν περιτιθέντες τῇ πόλει πολὺ μᾶλλον, ἢ οἱ πολῖται καὶ οἱ γενναῖοι καὶ οἱ χρηστοί. ἐπειδὴ οὖν ταῦτα οὕτως ἔχει, δοκεῖ δίκαιον εἶναι πᾶσι τῶν ἀρχῶν μετεῖναι, ἔν τε τῷ κλήρῳ, καὶ ἐν τῇ χειροτονίᾳ· καὶ λέγειν ἐξεῖναι τῷ βουλομένῳ τῶν πολιτῶν.

γʹ. Ἔπειτα ὁπόσαι μὲν σωτηρίαν φέρουσι τῶν ἀρχῶν, χρησταὶ οὖσαι καὶ μὴ χρησταί, ἢ κίνδυνον τῷ δήμῳ ἅπαντι· τούτων μὲν τῶν ἀρχῶν οὐδὲν δεῖται ὁ δῆμος μετεῖναι, οὔτε τῶν στρατηγιῶν κλήρων οἴονται σφίσι χρῆναι μετεῖναι, οὔτε τῶν ἱππαρχιῶν. γιγνώσκει γὰρ ὁ δῆμος, ὅτι πλείω ὠφελεῖται ἐν τῷ μὴ αὐτὸς ἄρχειν ταύτας τὰς ἀρχάς, ἀλλ' ἐᾶν τοὺς δυνατωτάτους ἄρχειν. ὁπόσαι δ' εἰσὶν ἀρχαὶ μισθοφορείας ἕνεκα καὶ ὠφελείας εἰς τὸν οἶκον, ταύτας ζητεῖ ὁ δῆμος ἄρχειν.

δʹ. Ἔπειτα

quod plebs & naves agat, & potentiam civitati conciliet: adeoque gubernatores, & incitatores nautarum, & quinquaginta remigibus præfecti, & proretæ, & navium fabricatores, hi ſunt qui multo magis reipublicæ potentiam amplificant, quàm cives, quam nobiles, quam homines frugi. Hæc quum ita ſe habeant, æquum eſſe videtur, ut omnes magiſtratuum participes fiant, ſive per ſortem, ſeu per ſuffragium; utque cuivis civium dicere liceat, qui quidem velit.

3. Deinde quotquot magiſtratus, ſive ſuperiores ſeu inferiores, univerſo populo vel ſalutis vel periculorum auctores ſunt, eorum uti particeps ſit vulgus, non eſt neceſſe: neque plebs ſortes prætorias, neque præfecturas equitum ad ſe pertinere putat. Animadvertit enim, ſe plus emolumenti capere, dum magiſtratus hoſce non obit, ſed illis relinquit gerendos, qui plurimum poſſunt. Quotquot vero magiſtratus habent ſtipendia, reique familiari conducunt, hos etiam vulgus ambit.

4. Quod

δ'. Ἐπειτα δὲ ὃ ἔνιοι θαυμάζουσιν, ὅτι πανταχοῦ πλέον νέμουσι τοῖς πονηροῖς, καὶ πένησι, καὶ δημοτικοῖς, ἢ τοῖς χρηστοῖς, ἐν αὐτῷ τούτῳ φανοῦνται τὴν δημοκρατίαν διασώζοντες. οἱ μὲν γὰρ πένητες καὶ οἱ δημόται καὶ οἱ χείρους εὖ πράττοντες, καὶ πολλοὶ οἱ τοιοῦτοι γιγνόμενοι, τὴν δημοκρατίαν αὔξουσιν. ἐὰν δὲ εὖ πράττωσιν οἱ πλούσιοι καὶ οἱ χρηστοὶ, ἰσχυρὸν τὸ ἐναντίον σφίσιν αὐτοῖς καθιστᾶσιν οἱ δημοτικοί.

ε'. Ἐστι δὲ πάσῃ γῇ τὸ βέλτιστον ἐναντίον τῇ δημοκρατίᾳ. ἐν γὰρ τοῖς βελτίστοις ἔνι ἀκολασία τε ὀλιγίστη καὶ ἀδικία, ἀκρίβεια δὲ πλείστη εἰς τὰ χρηστά· ἐν δὲ τῷ δήμῳ ἀμαθία τε πλείστη καὶ ἀταξία καὶ πονηρία. ἥ τε γὰρ πενία αὐτοὺς μᾶλλον ἄγει ἐπὶ τὰ αἰσχρὰ, καὶ ἡ ἀπαιδευσία καὶ ἡ ἀμαθία δι' ἔνδειαν χρημάτων ★ ἐνίοις τῶν ἀνθρώπων.

ς'. Εἴποι δ' ἄν τις, ὡς ἐχρῆν αὐτοὺς μὴ ἐᾷν λέγειν πάντας ἑξῆς μηδὲ βουλεύειν, ἀλλὰ τοὺς δεξιωτάτους

καὶ

4. Quod autem nonnulli mirantur, ubique plus eos hominibus nullius momenti, & pauperibus, & plebeis, quam egregiis viris tribuere; in hoc ipſo popularem civitatis ſtatum aperte conſervant. Quippe dum pauperes, & plebei, & nauci homines bene agunt, & ad aliquem numerum excreſcunt, ſtatum civitatis popularem augent. Sin divitibus & egregiis hominibus bene ſit; tum vero plebei contrariam ſibi partem corroborant.

5. Sunt autem ubique terrarum optimates dominatui plebeo contrarii. Nam in optimatibus petulantiæ ac injuſtitiæ minimum eſt, ſtudium vero rerum honeſtarum accuratiſſimum: contra, in plebe plurimum inſcitiæ, confuſionis, improbitatis. Etenim paupertas magis eos adducit ad turpia, & plerique mortalium propter penuriam neque literaliter educati, neque recte inſtitui poſſunt.

6. Fortaſſe dixerit aliquis non permittendum eſſe, ut omnes vel dicendi poteſtatem habeant, vel conſulendi: ſed peritiſſimos tantum

καὶ ἄνδρας ἀρίστους. οἱ δὲ καὶ ἐν τούτῳ ἄριστα βουλεύονται, ἐῶντες καὶ τοὺς πονηροὺς λέγειν. εἰ μὲν γὰρ οἱ χρηστοὶ ἔλεγον καὶ ἐβουλεύοντο, τοῖς ὁμοίοις σφίσιν αὐτοῖς ἦν ἀγαθά, τοῖς δὲ δημοτικοῖς οὐκ ἀγαθά· νῦν δὲ λέγων ὁ βουλόμενος ἀναστὰς ἄνθρωπος πονηρὸς, ἐξευρίσκει τὸ ἀγαθὸν αὐτῷ τε καὶ τοῖς ὁμοίοις αὐτῷ.

ζ'. Ειποι τις ἄν, τί ἂν οὖν γνοίη ἀγαθὸν αὐτῷ ἢ τῷ δήμῳ τοιοῦτος ἄνθρωπος; οἱ δὲ γιγνώσκουσιν, ὅτι ἡ τούτου ἀμαθία καὶ πονηρία καὶ εὔνοια μᾶλλον λυσιτελεῖ, ἢ ἡ τοῦ χρηστοῦ ἀρετὴ καὶ σοφία καὶ κακόνοια.

η'. Ειη μὲν οὖν ἂν πόλις οὐκ ἀπὸ τοιούτων διαιτημάτων ἡ βελτίστη, ἀλλ' ἡ δημοκρατία μάλιστ' ἂν σώζοιτο οὕτως. ὁ γὰρ δῆμος οὐ βούλεται εὐνομουμένης τῆς πόλεως αὐτὸς δουλεύειν, ἀλλ' ἐλεύθερος εἶναι, καὶ ἄρχειν· τῆς δὲ κακονομίας αὐτῷ ὀλίγον μέλει. ὃ γὰρ σὺ νομίζεις οὐκ εὐνομεῖσθαι,

& præſtantiſſimos viros. At illi in hoc quoque ſibi rectiſſime conſulunt, dum futilibus etiam dicendi poteſtatem faciunt. Nam ſi duntaxat egregii viri & orationes haberent, & ſententias dicerent, ſui ſimilibus prodeſſent, non autem plebeis: nunc quum ſurgat [ad concionandum] aliquis nullius pretii quicunque voluerit; facile tum ſibi, tum ſui ſimilibus quod expediat, invenit.

7. At inquiet aliquis, ecquid hujuſmodi homo boni vel ſibi vel populo poſſit excogitare? Nimirum intelligunt illi, hujus imperitiam ac futilitatem, cum benevolentia, plus ſibi prodeſſe, quam viri egregii virtutem ac ſapientiam, cum malevolentia.

8. Poteſt igitur fieri, ut his moribus civitas non efficiatur optima: ſed ſtatus tamen popularis hac ratione conſervabitur. Populus enim non vult rempublicam bene conſtitutam, in qua ſibi ſit ſerviendum; ſed liber eſſe vult, & imperio potiri, ac malum interim civitatis ſtatum flocci pendit. Nam quod tu non recte conſtitutum exiſtimas,

μεῖσθαι, αὐτὸς ἀπὸ τούτου ἰσχύει ὁ δῆμος, καὶ ἐλεύθερός ἐστιν.

θʹ. Εἰ δ' εὐνομίαν ζητεῖς, πρῶτα μὲν ὄψει τοὺς δεξιωτάτους αὐτοῖς τοὺς νόμους τιθέντας· ἔπειτα κολάσουσιν οἱ χρηστοὶ τοὺς πονηρούς, καὶ βουλεύσουσιν οἱ χρηστοὶ περὶ τῆς πόλεως, καὶ οὐκ ἐάσουσι μαινομένους ἀνθρώπους βουλεύειν, οὐδὲ λέγειν, οὐδὲ ἐκκλησιάζειν. ἀπὸ τούτων τοίνυν τῶν ἀγαθῶν τάχιστ' ἂν ὁ δῆμος εἰς δουλείαν καταπέσοι. τῶν δούλων δ' αὖ καὶ τῶν μετοίκων πλείστη ἐστὶν Ἀθήνησιν ἀκολασία, καὶ οὔτε πατάξαι ἔξεστιν αὐτόθι, οὔτε ὑπεκστήσεταί σοι ὁ δοῦλος. οὗ δ' ἕνεκέν ἐστι τοῦτο ἐπιχώριον, ἐγὼ φράσω.

ιʹ. Εἰ νόμος ἦν τὸν δοῦλον ὑπὸ τοῦ ἐλευθέρου τύπτεσθαι, ἢ τὸν μέτοικον, ἢ τὸν ἀπελεύθερον, πολλάκις ἂν οἰηθεὶς εἶναι τὸν Ἀθηναῖον δοῦλον, ἐπάταξεν ἄν. ἐσθῆτα τὸ γὰρ οὐδὲν βελτίων ὁ δῆμος αὐτόθι, ἢ οἱ δοῦλοι καὶ οἱ μέτοικοι· καὶ τὰ εἴδη οὐδὲν βελτίους εἰσίν.

ιαʹ. Εἰ δέ τις καὶ τοῦτο θαυμάζει, ὅτι ἐῶσι τοὺς δούλους τρυφᾶν αὐτόθι, καὶ μεγαλοπρεπῶς διαιτᾶσθαι ἐνίους, καὶ τοῦτο γνώμῃ

φανεῖεν

mas, id ipſum potentiam plebis libertatemque ſuſtinet.

9. Quod ſi bonum reipublicæ ſtatum requiris, primum videbis in eo peritiſſimos leges ferre; deinde boni malos punient, deque republica conſultabunt, & homines inſanos neque conſiliis adeſſe, neque orationem habere, neque concionari permittent. Quapropter ex his bonis celerrime plebs ad ſervitutem reciderit. Servorum autem & advenarum maxima eſt Athenis petulantia, neque pulſandi eos cuiquam illic jus eſt, neque ſervus tibi cedet. Cur autem hoc moribus illic ita receptum ſit, equidem exponam.

10. Si conſuetudo ferret ſervum hominem ab ingenuo verberari, vel advenam, vel libertum; ſæpe quis Athenienſem pulſaret, ſervum eſſe ratus. Nam neque veſtitu, neque forma, quidquam iſtic plebs ſervis adveniſve præſtat.

11. Jam ſiquis etiam miratur, quod iſtic & delicate ſervos & ſplendide quidem nonnullos vivere patiantur, hoc quoque certo

eos

φανεῖεν ἂν ποιοῦντες. ὅπου γὰρ ναυτικὴ δύναμίς ἐστιν ἀπὸ χρημάτων, ἀνάγκη τοῖς ἀνδραπόδοις δουλεύειν, ἵνα * λαμβάνων μὲν πράττῃ τὰς ἀποφορὰς, καὶ ἐλευθέρους ἀφιέναι. ὅπου δ' εἰσὶ πλούσιοι δοῦλοι, οὐκέτι ἐνταῦθα λυσιτελεῖ τὸν ἐμὸν δοῦλον σὲ δεδιέναι. ἐν δὲ τῇ Λακεδαίμονι ὁ ἐμὸς δοῦλος σὲ δέδοικεν. ἂν δὲ δεδίῃ ὁ σὸς δοῦλος ἐμὲ, κινδυνεύσει καὶ τὰ χρήματα διδόναι τὰ ἑαυτοῦ, ὥστε μὴ κινδυνεύειν περὶ ἑαυτοῦ.

ιβ'. Διὰ τοῦτ' οὖν ἰσηγορίαν καὶ τοῖς δούλοις πρὸς τοὺς ἐλευθέρους ἐποιήσαμεν, καὶ τοῖς μετοίκοις πρὸς τοὺς ἀστοὺς, διότι δεῖται ἡ πόλις μετοίκων, διά τε τὸ πλῆθος τῶν τεχνῶν καὶ διὰ τὸ ναυτικόν. διὰ τοῦτο οὖν καὶ τοῖς μετοίκοις εἰκότως τὴν ἰσηγορίαν ἐποιήσαμεν.

ιγ'. Τοὺς δὲ γυμναζομένους αὐτόθι, καὶ τὴν μουσικὴν ἐπιτηδεύοντας * καταλέλυκεν ὁ δῆμος, νομίζων τοῦτο * οὐ καλὸν εἶναι, γνοὺς ὅτι οὐ δυνατὰ ταῦτά ἐστιν ἐπιτηδεύειν. ἐν ταῖς χορηγίαις αὖ καὶ γυμνασιαρχίαις καὶ τριηραρχίαις γιγνώσκουσιν,

ὅτι

eos judicio facere conſtat. Nam ubi potentia navalis ab opibus pendet, ibi poſthabitis hominibus liberis, ſervire mancipiis oportet, ut qui ea capit quæſtum faciat; ubi vero ſervi opulenti ſunt, ibi meus ut ſervus te metuat, non expedit. Lacedæmone quidem meus ſervus te metuit. Jam ſi me ſervus tuus metuat, ſane verendum, ut res ſuas mihi det, ne quo ipſe ſit in periculo.

12. Quamobrem æqualitatem quandam ſervis & liberis conceſſimus, itemque advenis & civibus, quod advenarum egeat opera civitas, cum propter opificiorum multitudinem, tum ob rem navalem. Igitur hac de cauſa merito quædam æqualitas inter cives & advenas à nobis facta eſt.

13. Cæterum eos qui corporum exercitiis ibi Muſicæque dediti ſunt ſtudiis, plebs non ſuſtulit; quod exiſtimaret id expedire, ac ne poſſe quidem ab ſe his dari operam ſentiret. In chori vero principatu, ac gymnaſiorum triremiumque præfecturis,

intelligunt

ὅτι * χορηγοῦσι μὲν οἱ πλούσιοι, χορηγεῖται δὲ ὁ δῆμος· καὶ τριηραρχοῦσι καὶ γυμνασιαρχοῦσιν οἱ πλούσιοι· ὁ δὲ δῆμος τριηραρχεῖται καὶ γυμνασιαρχεῖται. ἀξιοῖ οὖν ἀργύριον λαμβάνειν ὁ δῆμος, καὶ ᾄδων, καὶ τρέχων, καὶ ὀρχούμενος, καὶ πλέων ἐν ταῖς ναυσίν· ἵνα αὐτός τε ἔχῃ, καὶ οἱ πλούσιοι πενέστεροι γίγνωνται. ἔν τε τοῖς δικαστηρίοις οὐ τοῦ δικαίου αὐτοῖς μέλει μᾶλλον, ἢ τοῦ αὐτοῖς συμφέροντος.

ιδ΄. Περὶ δὲ τῶν συμμάχων, ὅτι ἐκπλέοντες συκοφαντοῦσιν, ὡς δοκοῦσι, καὶ μισοῦσι τοὺς χρηστούς, γιγνώσκοντες ὅτι μισεῖσθαι μὲν ἀνάγκη τὸν ἄρχοντα ὑπὸ τοῦ ἀρχομένου· εἰ δὲ ἰσχύσουσιν οἱ πλούσιοι καὶ οἱ ἰσχυροὶ ἐν ταῖς πόλεσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου τοῦ Ἀθήνησιν. διὰ ταῦτα οὖν τοὺς μὲν χρηστοὺς ἀτιμῶσι, καὶ χρήματα ἀφαιροῦνται, καὶ ἐξελαύνονται, καὶ ἀποκτείνουσι, τοὺς δὲ πονηροὺς αὔξουσιν. οἱ δὲ χρηστοὶ Ἀθηναίων τοὺς χρηστοὺς ἐν ταῖς συμμαχίσι πόλεσι σώζουσι, γιγνώσκοντες ὅτι σφίσιν

ἀγαθὸν

intelligunt penes opulentos eſſe chori principatum, vulgus vero in choris verſari: eodemque modo locupletes triremibus & gymnaſiis præeſſe, vulgus autem in triremibus & gymnaſiis parere. Vult igitur pecuniam accipere vulgus, atque ita canere, currere, ſaltare, navigare; ut & ipſum habeat aliquid, & divites reddantur tenuiores. Nec in judiciis quidem magis ejus quod juſtum eſt, quam commodi ſui rationem habent.

14. De ſociis autem, quod navigiis eos adeuntes, calumniari & odiſſe videntur egregios illic viros, ita ſentiunt, fieri non poſſe, quin qui ſub imperio eſt, oderit eum qui eſt cum imperio: ac ſi majores locupletum & potentium vires ſint in civitatibus, imperium populi Athenienſis haud diu duraturum. Ob has inquam cauſas viris egregiis honores adimunt, facultates auferunt, exilia capitiſque pœnas irrogant, dum nihili homines evehunt. Contra qui Athenienſes frugi ſunt, ii ſalutem virorum egregiorum in civitatibus ſociis tuentur, quod animadvertant ſibi

ſibi

ἀγαθὸν ἐστὶ τοὺς βελτίστους σώζειν ἀεὶ ἐν ταῖς πόλεσιν.

ιε'. Εἴποι δέ τις ἄν, ὅτι ἰσχύς ἐστιν αὕτη Ἀθηναίων, ἐὰν οἱ σύμμαχοι δυνατοὶ ὦσι χρήματα εἰσφέρειν. τοῖς δὲ δημοτικοῖς δοκεῖ μεῖζον ἀγαθὸν εἶναι, τὰ τῶν συμμάχων χρήματα ἕνα ἕκαστον ἔχειν Ἀθηναίων, ἐκείνους δὲ ὅσον ζῆν καὶ ἐργάζεσθαι, ἀδυνάτους ὄντας ἐπιβουλεύειν.

ιϛ'. Δοκεῖ δὲ ὁ δῆμος Ἀθηναίων καὶ ἐν τῷδε κακῶς βουλεύεσθαι, ὅτι τοὺς συμμάχους ἀναγκάζουσι πλεῖν ἐπὶ δίκας Ἀθήναζε. οἱ δὲ ἀντιλογίζονται ὅσα ἐν τούτῳ ἔνι ἀγαθὰ τῷ δήμῳ τῶν Ἀθηναίων. πρῶτον μὲν, ἀπὸ τῶν πρυτανείων τὸν μισθὸν δι' ἐνιαυτοῦ λαμβάνειν· εἶτ' οἴκοι καθήμενοι, ἄνευ νεῶν ἔκπλου, διοικοῦσι τὰς πόλεις τὰς συμμαχίδας, καὶ τοὺς μὲν τοῦ δήμου σώζουσι, τοὺς δ' ἐναντίους ἀπολλύουσιν ἐν τοῖς δικαστηρίοις. εἰ δὲ οἴκοι εἶχον ἕκαστοι τὰς δίκας, ἅτε ἀχθόμενοι Ἀθηναίοις, τούτους ἂν σφῶν αὐτῶν ἀπώλλυσαν, οἵτινες φίλοι μάλιστα ἦσαν Ἀθηναίων τῷ δήμῳ.

ιζ'. Περὶ

ſibi ex uſu eſſe, conſervari ſemper in urbibus optimates.

15. At dixerit aliquis, in eo potentiam Athenienſium eſſe ſitam, ſi pecunias eorum ſocii conferre poſſint. At plebeis hominibus magis expedire videtur, ut Athenienſium unuſquiſque facultates ſociorum obtineat; illi, quantum opus ſit ad victum & opera, ne poſſint inſidiari.

16. Hac etiam in parte populus Athenienſis uti conſilio malo exiſtimatur, quod ſocios Athenas navigare ad petendum jus cogant. Verum illi contra ratiocinantur, quantum in hoc inſit Athenienſium populo commodi. Primum eſt, quod è judiciis anno toto ſalaria percipiant. Deinde, quod domi reſidentes, nullis emiſſis navibus, civitates ſocias adminiſtrent; plebeoque ſtatui addictos incolumes ſervent, adverſariis eorum in judiciis oppreſſis. Quod ſi judicia ſinguli exercerent in patria, nimirum Athenienſibus infenſi, eos ipſos de numero ſuorum opprimerent, quicumque populo Athenienſium inprimis amici eſſent.

17. Præterea

ιζ΄. Πρὸς δὲ τούτοις, ὁ δῆμος τῶν Ἀθηναίων τάδε κερδαίνει τῶν δικῶν Ἀθήνησιν οὐσῶν τοῖς συμμάχοις. πρῶτον μὲν γὰρ ἡ ἑκατοστὴ τῇ πόλει πλείων ἢ ἐν Πειραιεῖ. ἔπειτα εἴ τῳ συνοικία ἐστὶν, ἢ ἀνδράποδον μισθοφοροῦν. ἔπειτα οἱ κήρυκες ἄμεινον πράττουσι διὰ τὰς ἐπιδημίας τὰς τῶν συμμάχων.

ιη΄. Πρὸς δὲ τούτοις, εἰ μὲν μὴ ἐπὶ δίκας ᾔεσαν οἱ σύμμαχοι, τοὺς ἐκπλέοντας Ἀθηναίων ἐτίμων ἂν μόνους, τούς τε στρατηγοὺς, καὶ τοὺς τριηράρχους, καὶ πρέσβεις. νῦν δ᾽ ἠνάγκασται τὸν δῆμον κολακεύειν τῶν Ἀθηναίων εἷς ἕκαστος τῶν συμμάχων, γιγνώσκων, ὅτι δεῖ μὲν ἀφικόμενον Ἀθήναζε δίκην δοῦναι καὶ λαβεῖν οὐκ ἐν ἄλλοις τισὶν, ἀλλ᾽ ἐν τῷ δήμῳ· ὅς ἐστι δὴ νόμος Ἀθήνησι. καὶ ἀντιβολῆσαι ἀναγκάζεται ἐν τοῖς δικαστηρίοις, καὶ εἰσιόντος του, ἐπιλαμβάνεσθαι τῆς χειρός. διὰ τοῦτο οὖν οἱ σύμμαχοι δοῦλοι τοῦ δήμου τῶν Ἀθηναίων καθεστᾶσι μᾶλλον.

ιθ΄. Πρὸς δὲ τούτοις διὰ τὴν κτῆσιν τὴν ἐν τοῖς ὑπερορίοις,

καὶ

17. Præterea populus Athenienſis, dum jus Athenis ſocii petunt, hæc lucratur. Primum è centeſima in Piræo civitati proventus major accedit. Deinde [lucrum percipit,]. cui vel cœnaculis inſtructa domus eſt, vel jumentum meritorium. Itidem ſociorum adventus emolumentum præconibus adfert.

18. Præterea ſi [Athenas] ſocii jus petitum non irent, ſolos ex Athenienſibus illos honoribus adficerent, qui ad ipſos navigant; nimirum prætores, triremium præfectos, legatos. Nunc vero ſociorum unuſquiſque populum Athenienſem blandiendo demereri cogitur: quippe qui intelligat, Athenas ſibi proficiſcendum, cauſamque agendam non apud alios,quam apud populum: quæ ſane lex Athenis eſt. Etiam in judiciis ſupplicare cogitur, & ſi quis ingrediatur, manum ejus prenſare. Quæ cauſſa eſt, quamobrem ſocii multo magis populo Athenienſi ſerviant.

19. Præterea propter id quod extra fines patriæ poſſident, &

καὶ διὰ τὰς ἀρχὰς τὰς εἰς τὴν ὑπερορίαν, λελήθασι μανθάνοντες ἐλαύνειν τῇ κώπῃ αὐτοί τε καὶ οἱ ἀκόλουθοι. ἀνάγκη γὰρ ἄνθρωπον πολλάκις πλέοντα κώπην λαβεῖν καὶ αὐτὸν, καὶ τὸν οἰκέτην, καὶ ὀνόματα μαθεῖν τὰ ἐν τῇ ναυτικῇ.

κ΄. Καὶ κυβερνῆται ἀγαθοὶ γίνονται, δι' ἐμπειρίαν τε τῶν πλοίων, καὶ διὰ μελέτην. ἐμελέτησαν δὲ οἱ μὲν, πλοῖον κυβερνῶντες, οἱ δὲ, ὁλκάδα. οἱ δ' ἐντεῦθεν ἐπὶ τριήρη κατέστησαν. οἱ δὲ πολλοὶ * ἐλαύνειν εὐθὺς ὡς οἷόν τε εἰσβάντες εἰς ναῦς, ἅτε ἐν παντὶ τῷ βίῳ προμεμελετηκότες.

ΚΕΦ. β΄.

ΤΟ δὲ ὁπλιτικὸν αὐτοῖς, ὃ ἥκιστα δοκεῖ εὖ ἔχειν Ἀθήνησιν, οὕτω καθέστηκε. καὶ τῶν μὲν πολεμίων ἥττους τε σφᾶς αὐτοὺς ἡγοῦνται εἶναι, καὶ μείζους· τῶν δὲ συμμάχων, οἳ φέρουσι τὸν φόρον, καὶ κατὰ γῆν κράτιστοί εἰσι, καὶ νομί-

ζουσι

propter magiſtratus gerendos apud exteros, ſenſim remo navem agere tum ipſi tum comites diſcunt. Eſt enim neceſſe, ut qui ſæpius navigat, remum in manus ſumat, tam ipſe quam famulus, reique navalis adpellationes diſcat.

20. Etiam boni gubernatores fiunt, partim propter uſum navigiorum, partim propter exercitationem. Exercent autem ſeſe alii navigium minus gubernando, alii navim onerariam: ac nonnulli ad triremes hinc tranſcunt. Complures ſtatim in ipſo ingreſſu in naves, remigare poſſunt, exercitati jam ita nimirum in hoc per omnem vitam.

CAP. II.

CÆterum terreſtris militiæ, quæ Athenis non ſatis bene comparata eſſe videtur, hæc eſt ratio: Arbitrantur Athenienſes, hoſtibus ſe & inferiores, & ſuperiores eſſe: Sociis vero, qui tributum eis pendunt, longe etiam terra præſtant, ac ſe terreſtri-

bus

ζουσι τὸ ὁπλιτικὸν ἄρχειν, εἰ τῶν συμμάχων κρείττονές εἰσι.

β'. Πρὸς δὲ καὶ κατὰ τύχην τι αὐτοῖς τοιοῦτον καθέστηκε. τοῖς μὲν κατὰ γῆν ἀρχομένοις οἷόν τ' ἐστὶν ἐκ μικρῶν πόλεων συνοικισθέντας, ἀθρόους μάχεσθαι. τοῖς δὲ κατὰ θάλατταν ἀρχομένοις, ὅσοι νησιῶταί εἰσιν, οὐχ οἷόν τε συνάρεσθαι εἰς τὸ αὐτὸ τὰς πόλεις. ἡ γὰρ θάλαττα ἐν τῷ μέσῳ, οἱ δὲ κρατοῦντες θαλασσοκράτορές εἰσιν. εἰ δὲ οἷόν τε καὶ λαθεῖν συνελθοῦσιν εἰς ταυτὸ τοῖς νησιώταις εἰς μίαν νῆσον, ἀπολοῦνται λιμῷ.

γ'. Οπόσαι δὲ ἐν τῇ ἠπείρῳ εἰσὶ πόλεις ὑπὸ τῶν Αθηναίων ἀρχόμεναι, αἱ μὲν μεγάλαι διὰ δέος ἄρχονται, αἱ δὲ μικραὶ πάνυ διὰ χρείαν. οὐ γάρ ἐστι πόλις οὐδεμία, ἥτις οὐ δεῖται εἰσάγεσθαί τι ἢ ἐξάγεσθαι. ταῦτα τοίνυν οὐκ ἔσται αὐτῇ, ἐὰν μὴ ὑπήκοος ᾖ τῶν ἀρχόντων τῆς θαλάττης.

δ'. Επειτα δὲ τοῖς ἄρχουσι τῆς θαλάττης οἷόν τ' ἐστὶ ποιεῖν, ἅπερ οὐ τοῖς τῆς γῆς, ἐνίοτε τέμνειν τὴν γῆν τῶν κρειττόνων·

παρα-

bus copiis præcipue valere putant, ſi ſociis ſint ſuperiores.

2. Præterea fortuna quadam talis ipſorum eſt conditio. Poſſunt ſubditi in continenti parvis ex oppidis coire, conjunctiſque copiis pugnare. At vero maritimorum ſubditorum, hominum videlicet inſularium oppida conjungere vires non poſſunt. Eſt enim in medio mare, quique rerum potiuntur, etiam maris imperium obtinent. Quod ſi etiam fieri poſſit, ut inſulares clam in unam conveniant inſulam, fame peribunt.

3. Quotquot autem civitates ſubjectæ Athenienſium imperio, in continenti ſitæ ſunt; earum quæ majuſculæ ſunt, metus cauſſa parent: quæ minores, propter penuriam. Nec enim oppidum ullum eſt, cui non opus ſit aliquid vel importari, vel exportari. Nequit autem hæc conſequi, ſi non iis obtemperet, qui maris imperio potiuntur.

4. Deinde poſſunt ii, qui mare ſua in poteſtate habent, ea facere, quæ rerum terra domini non poſſunt, nimirum nonnunquam vaſtare agrum etiam potentiorum.

παραπλεῖν γὰρ ἔξεστιν, ὅπου ἂν μηδεὶς ᾖ πολέμιος ἢ ὅπου ἂν ὀλίγοι· ἐὰν δὲ προσίωσιν, ἀναβάντα ἀποπλεῖν. καὶ τοῦτο ποιῶν ἧττον ἀπορεῖ, ἢ ὁ πεζῇ παραβοηθῶν.

ε′. Ἔπειτα δὲ τοῖς μὲν κατὰ θάλατταν ἄρχουσιν οἷόν τ' ἀποπλεῦσαι ἀπὸ τῆς σφετέρας αὐτῶν, ὁπόσον βούλει πλουῶ, τοῖς δὲ κατὰ γῆν οὐχ οἷόν τε ἀπὸ τῆς σφετέρας αὐτῶν ἀπελθεῖν πολλῶν ἡμερῶν ὁδόν. βραδεῖαί τε γὰρ αἱ πορεῖαι, καὶ σῖτον οὐχ οἷόν τε ἔχειν πολλοῦ χρόνου πεζῇ ἰόντα. καὶ τὸν μὲν πεζῇ ἰόντα δεῖ διὰ φιλίας ἰέναι, ἢ νικᾷν μαχόμενον· τὸν δὲ πλέοντα, οὗ μὲν ἂν ᾖ κρεῖττον, ἔξεστιν ἀποβῆναι· ★ .... ταύτης τῆς γῆς ἄλλα παραπλεῦσαι, ἕως ἂν ἐπὶ φιλίαν χώραν ἀφίκηται, ἢ ἐπὶ ἥττους αὐτοῦ.

ϛ′. Ἔπειτα νόσους τῶν καρπῶν, αἳ ἐκ Διός εἰσιν, οἱ μὲν κατὰ γῆν κράτιστοι χαλεπῶς φέρουσι, οἱ δὲ κατὰ θάλατταν, ῥᾳδίως. οὐ γὰρ ἅμα

πᾶσα

Poſſunt enim propter ea loca naves adpellere, ubi vel nullus ſit hoſtis, vel pauci : at ſi hoſtes adcurrant, conſcenſis navibus diſcedere licet. Atque hoc qui facit, minori eſt in difficultate, quam qui terreſtribus cum copiis expeditionem ſuſcipit.

5. Deinde poſſunt ii qui maris imperium tenent, ſuis à finibus quamlibet longo itinere navigare : quum iis, quibus eſt potentia terreſtris, non liceat multorum dierum itinere ab agro ſuo diſcedere. Sunt enim tardi progreſſus, & fieri non poteſt, ut is qui terra facit iter, commeatum longo tempore ſufficientem ſecum ferat. Itidem qui pedes incedit, neceſſe habet, uti vel per amicorum fines eat, vel pugnando vincat : qui autem navigat, ubi ſuperior eſt, de navibus poteſt egredi ; ubi inferior, præterlegere licet mare proximum ei terræ, donec vel amicorum ad fines pervenerit, vel eorum qui ſunt ipſo inferiores.

6. Deinde frugum labes, quæ à Jove ſunt, graves illis accidunt qui terra rerum potiuntur : qui vero mari, facile has ferunt. Non enim

omnes

πᾶσα γῆ νοσεῖ. ὥστε ἐκ τῆς εὐθηνούσης ἀφικνεῖται τοῖς τῆς θαλάσσης ἄρχουσιν.

ζ'. Ει δὲ δεῖ καὶ σμικροτέρων μνησθῆναι, διὰ τὴν ἀρχὴν τῆς θαλάττης πρῶτον μὲν τρόπους εὐωχιῶν ἐξεῦρον ἐπιμισγόμενοι ἀλλήλοις. ὅ,τι ἐν Σικελίᾳ ἡδὺ, ἢ ἐν Ιταλίᾳ, ἢ ἐν Κύπρῳ, ἢ ἐν Αἰγύπτῳ, ἢ ἐν Λυδίᾳ, ἢ ἐν τῷ Πόντῳ, ἢ ἐν Πελοπονήσῳ, ἢ ἄλλοθί που, ταῦτα πάντα εἰς ἓν * ἠθροῖσθαι, διὰ τὴν ἀρχὴν τῆς θαλάττης.

ή. Επειτα φωνὴν τὴν πᾶσαν ἀκούοντες, ἐξελέξαντο τοῦτο μὲν ἐκ τῆς, τοῦτο δ᾽ ἐκ τῆς. καὶ οἱ μὲν Ελληνες ἰδίᾳ μᾶλλον καὶ φωνῇ, καὶ διαίτῃ, καὶ σχήματι χρῶνται· Αθηναῖοι δὲ κεκραμένῃ ἐξ ἁπάντων τῶν Ελλήνων καὶ βαρβάρων.

θ'. Θυσίας δὲ, καὶ ἱερὰ, καὶ ἑορτὰς, καὶ τεμένη, γνοὺς ὁ δῆμος ὅτι οὐχ οἷόν τέ ἐστιν ἑκάστῳ τῶν πενήτων θύειν, καὶ εὐωχεῖσθαι, καὶ κτᾶσθαι ἱερὰ, καὶ πόλιν οἰκεῖν καλὴν καὶ μεγάλην, ἐξεῦρεν ὅτῳ τρόπῳ ἔσται ταῦτα. θύουσιν

οὖν

omnes una regiones iis laborant. Quo fit, ut ex ea quæ fructus uberes tulit, commeatus ad illos perveniat, quibus mare paret.

7. Quod ſi etiam leviorum quorundam facienda eſt mentio, primum propter imperium maris Athenienſes ex commerciis mutuis varios epulandi modos invenerunt. Quidquid rei ſuavis vel in Sicilia, vel in Italia, vel Cypro, vel Ægypto, vel Lydia, vel Ponto, vel Peloponeſo, vel alibi erat: hæc omnia in unum congeſta ſunt, propter maris imperium.

8. Deinde quum linguas omnes audiant, aliud ex alia delegerunt. Et Græci quidem magis peculiari tum lingua, tum victus ratione, tum habitus, utuntur: Athenienſes vero miſta quadam ex omnibus tum Græcis tum barbaris.

9. Jam ſacrificia, fana, feſta, lucos & delubra quod adtinet, quia populus intelligebat, non poſſe quemvis pauperem ſacrificare, epulari, fana ſua poſſidere, civitatem pulchram & amplam incolere: quo pacto hæc quoque fierent, excogitavit. Itaque civi-

οὖν δημοσίᾳ μὲν ἡ πόλις ἱερεῖα πολλά. ἔστι δὲ ὁ δῆμος ὁ εὐωχούμενος, καὶ διαλαγχάνων τὰ ἱερεῖα.

ι'. Καὶ γυμνάσια, καὶ λουτρὰ, καὶ ἀποδυτήρια, τοῖς μὲν πλουσίοις ἐστὶν ἴδια ἐνίοις, ὁ δὲ δῆμος αὐτὸς αὑτῷ οἰκοδομεῖται ἰδίᾳ παλαίστρας πολλὰς, ἀποδυτήρια, λουτρῶνας· καὶ πλείω τούτων ἀπολαύει ὁ ὄχλος, ἢ οἱ ὀλίγοι, καὶ οἱ εὐδαίμονες.

ια'. Τὸν δὲ πλοῦτον μόνοι οἷοί τ' ἔχειν τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. εἰ γάρ τις πόλις πλουτεῖ ξύλοις ναυπηγησίμοις, ποῖ διαθήσεται, ἐὰν μὴ πείσῃ τὸν ἄρχοντα τῆς θαλάσσης; εἰ δέ τις σιδήρῳ, ἢ χαλκῷ, ἢ λίνῳ πλουτεῖ πόλις, ποῖ διαθήσεται, ἐὰν μὴ πείσῃ τὸν ἄρχοντα τῆς θαλάττης; ἐξ αὐτῶν μέντοι τούτων καὶ δὴ νῆές μοι εἰσὶ, παρὰ μὲν τοῦ, ξύλα· παρὰ δὲ τοῦ, σίδηρος· παρὰ δὲ τοῦ, χαλκός· παρὰ δὲ τοῦ, λίνον· παρὰ δὲ τοῦ, κηρός.

ιβ'. Πρὸς δὲ τούτοις, ἄλλοσε ἄγειν οὐκ ἐάσουσιν οἵτινες ἀντίπαλοι ἡμῖν εἰσὶν, ἢ οὐ χρήσονται τῇ θαλάττῃ. καὶ ἐγὼ μὲν οὐδὲν ποιῶν ἐκ τῆς γῆς, πάντα ταῦτα ἔχω διὰ τὴν θάλατταν.

ἄλλη

civitatis ſumtu multæ hoſtiæ publice mactantur: & populus eſt is qui epulatur, & ſorte victimas inter ſe partitur.

10. Gymnaſia, lavacra, apodyteria privatim homines quidam opulenti habent: ac populus ſibi peculiariter multas palæſtras, apodyteria, lavacra ædificat: eorumque pluribus fruitur vulgus, quam pauci ac beati.

11. Divitias etiam ſoli ex Græcis ac barbaris Athenienſes habere poſſunt. Nam ſi qua civitas lignis abundat ad naves fabricandas, ubinam ea vendet, ſi non dominum maris prius ſibi conciliaverit? Rurſum ſi qua civitas ferri, vel æris, vel lini copiam habeat, ubinam ea vendet, ſi non prius eum, qui mari potitur, ſibi conciliaverit? Atqui ab his ipſis naves mihi ſunt, & ab uno ligna, ferrum ab alio, ab alio æs, ab alio linum, ab alio cera.

12. Præterea non patientur, qui adverſarii nobis ſunt, hæc exportari alio, vel mari non utentur. Equidem qui nihil ex terra comparo, per mare omnia hæc habeo.

Nulla

ἄλλη δ' οὐδεμία πόλις δύο τούτων ἔχει, οὐδ' ἔστι τῇ αὐτῇ ξύλα καὶ λίνον· ἀλλ' ὅπου λίνον ἐστὶ πλεῖστον, λεία χώρα καὶ ἄξυλος· οὐδὲ χαλκὸς καὶ σίδηρος ἐκ τῆς αὐτῆς πόλεως, οὐδὲ τἄλλα δύο, ἢ τρία, μιᾷ πόλει· ἀλλὰ τὸ μὲν τῇ, τὸ δὲ τῇ.

ιγ΄. Ετι δὲ πρὸς τούτοις παρὰ πᾶσαν ἤπειρόν ἐστιν ἢ ἀκτὴ προέχουσα, ἢ νῆσος προκειμένη, ἢ στενόπορόν τι· ὥστε ἔξεστιν ἐνταῦθα ἐφορμοῦσι τοῖς τῆς θαλάττης ἄρχουσι λωβᾶσθαι τοὺς τὴν ἤπειρον οἰκοῦντας.

ιδ΄. Ενὸς δὲ ἐνδεεῖς εἰσιν. εἰ γὰρ νῆσον οἰκοῦντες θαλασσοκράτορες ἦσαν Αθηναῖοι, ὑπῆρχεν ἂν αὐτοῖς ποιεῖν μὲν κακῶς, εἰ ἠβούλοντο, πάσχειν δὲ μηδὲν, ἕως τῆς θαλάττης ἦρχον, μηδὲ τμηθῆναι τὴν ἑαυτῶν γῆν, μηδὲ προσδέχεσθαι τοὺς πολεμίους. νῦν δὲ οἱ γεωργοῦντες καὶ οἱ πλούσιοι Αθηναίων ὑπέρχονται τοὺς πολεμίους μᾶλλον, ὁ δὲ δῆμος, ἅτε εὖ εἰδὼς, ὅτι οὐδὲν τῶν σφῶν ἐμπρήσουσιν, οὐδὲ τεμοῦσιν, ἀδεῶς ζῇ, καὶ οὐχ ὑπερχόμενος αὐτούς.

ιε΄. Πρὸς

Nulla vero civitas alia utrumque horum habet, nec ſuppetunt eidem ligna & linum: ſed ubi maxima lini eſt copia, ibi regio lævis eſt, & ſylvis caret. Ne quidem æs, ac ferrum, ex eadem eſt civitate; neque alterius generis duo, vel tria, oppido uni ſuppetunt: ſed hoc huic, illud iſti.

13. Præterea juxta quamvis continentem, vel littus eſt porrectũ, vel adjacet inſula, vel fretum aliquod. Itaque domini maris iſtis in locis adpellere poſſunt, ac illos qui continentem incolunt, damno adficere.

14. Unum tamen eis deeſt: Nam ſi Athenienſes inſulam incolerent, ſimulque maris imperio potirentur; facultatem haberent ex arbitratu ſuo lædendi alios, neque tamen detrimenti quidquam acciperent, quam quidem diu mari dominarentur, neque vaſtationem agri paterentur, neque hoſtis adventum metuerent. Nunc vero cultores agrorum, & quotquot ex Athenienſibus locupletes ſunt, hoſtibus ſe ſummittunt; plebs autem, quod ſciat eos nihil rerũ ſuarũ neq; igni neq; ferro vaſtaturos, ab omni metu libera vivit, nec hoſtibus ſe ſummittit.

15. Præ-

θύειν δημοσίᾳ μὲν ἡ πόλις ἱερεῖα πολλά. ἔστι δὲ ὁ δῆμ
εὐωχούμενος, καὶ διαλαγχάνων τὰ ἱερεῖα.

ι΄. Καὶ γυμνάσια, καὶ λουτρὰ, καὶ ἀποδυτήρια, τοῖς μὲν πλ
σίοις ἐστὶν ἴδια ἐνίοις, ὁ δὲ δῆμος αὐτὸς αὑτῷ οἰκοδομεῖ
ἰδίᾳ παλαίστρας πολλὰς, ἀποδυτήρια, λουτρῶνας· καὶ πλε
τούτων ἀπολαύει ὁ ὄχλος, ἢ οἱ ὀλίγοι, καὶ οἱ εὐδαίμο

ια΄. Τὸν δὲ πλοῦτον μόνοι οἷοί τ' ἔχειν τῶν Ἑλλήνων
τῶν βαρβάρων. εἰ γάρ τις πόλις πλουτεῖ ξύλοις ναυπη
σίμοις, ποῖ διαθήσεται, ἐὰν μὴ πείσῃ τὸν ἄρχοντα τῆς θ
λάσσης; εἰ δέ τις σιδήρῳ, ἢ χαλκῷ, ἢ λίνῳ πλουτεῖ
λις, ποῖ διαθήσεται, ἐὰν μὴ πείσῃ τὸν ἄρχοντα τῆς
λάττης; ἐξ αὐτῶν μέντοι τούτων καὶ δὴ νῆές μοι εἰσὶ,
μὲν τοῦ, ξύλα· παρὰ δὲ τοῦ, σίδηρος· παρὰ δὲ τοῦ, χαλ
παρὰ δὲ τοῦ, λίνον· παρὰ δὲ τοῦ, κηρός.

ιβ΄. Πρὸς δὲ τούτοις, ἄλλοσε ἄγειν οὐκ ἐάσουσιν οἵ
ἀντίπαλοι ἡμῖν εἰσὶν, ἢ οὐ χρήσονται τῇ θαλάττῃ. καὶ ἐγὼ
οὐδὲν ποιῶν ἐκ τῆς γῆς, πάντα ταῦτα ἔχω διὰ τὴν θάλα

ἄλ

civitatis ſumtu multæ hoſtiæ publice mactantur: & populus eſt is qui epulatur, & ſorte victimas inter ſe partitur.

10. Gymnaſia, lavacra, apodyteria privatim homines quidam opulenti habent: ac populus ſibi peculiariter multas palæſtras, apodyteria, lavacra ædificat: eorumque pluribus fruitur vulgus, quam pauci ac beati.

11. Divitias etiam ſoli ex Græcis ac barbaris Athenienſes habere poſſunt. Nam ſi qua civitas lignis abundat ad naves fabricandas,
ubinam ea vendet, ſi non do
num maris prius ſibi concilia
Rurſum ſi qua civitas ferri
æris, vel lini copiam haben
nam ea vendet, ſi non prius
qui mari potitur, ſibi conc
rit? Atqui ab his ipſis nave
ſunt, & ab uno ligna, fer
alio, ab alio æs, ab alio lin
alio cera.

12. Præterea non patiun
adverſarii nobis ſunt, lo
tari alio, vel mari
Equidem qui nihil ex
paro, per mare

ἄλλη δὲ οὐδεμία πόλις δύο τούτων ἔχει, οὐδ' ἔστι τῇ αὐτῇ ξύλα καὶ λίνον, ἀλλ' ὅπου λίνον ἐστὶ πλεῖστον, λεία χώρα καὶ ἄξυλος· οὐδὲ χαλκὸς καὶ σίδηρος ἐκ τῆς αὐτῆς πόλεως, οὐδὲ τἆλλα δύο ἢ τρία μιᾷ πόλει, ἀλλὰ τὸ μὲν τῇ, τὸ δὲ τῇ.

ιγ'. Ἔτι δὲ πρὸς τούτοις παρὰ πᾶσαν ἤπειρόν ἐστιν ἢ ἀκτὴ προέχουσα, ἢ νῆσος προκειμένη, ἢ στενόπορόν τι, ὥστε ἔξεστιν ἐνταῦθα ἐφορμοῦσι τοῖς τῆς θαλάττης ἄρχουσι λωβᾶσθαι τοὺς τὴν ἤπειρον οἰκοῦντας.

ιδ'. Ἑνὸς δὲ ἐνδεεῖς εἰσιν· εἰ γὰρ νῆσον οἰκοῦντες θαλασσοκράτορες ἦσαν Ἀθηναῖοι, ὑπῆρχεν ἂν αὐτοῖς ποιεῖν μὲν κακῶς, εἰ ἐβούλοντο, πάσχειν δὲ μηδὲν, ἕως τῆς θαλάττης ἦρχον, μηδὲ τμηθῆναι τὴν ἑαυτῶν γῆν, μηδὲ προσδέχεσθαι τοὺς πολεμίους. νῦν δὲ οἱ γεωργοῦντες καὶ οἱ πλούσιοι Ἀθηναίων ὑπέρχονται τοὺς πολεμίους μᾶλλον, ὁ δὲ δῆμος, ἅτε εὖ εἰδὼς, ὅτι οὐδὲν τῶν σφῶν ἐμπρήσουσιν, οὐδὲ τεμοῦσιν, ἀδεῶς ζῇ, καὶ οὐχ ὑποπτήσσων αὐτούς.

ιε'. Πρὸς

Nulla [illegible] horum [illegible] ligna & [illegible] est copia [illegible] caret. [illegible] eadem [illegible] generis [illegible] suppet[illegible]

13. [illegible] tinente [illegible] adjace[illegible] itaque [illegible] adpelle[illegible] nentem [illegible]

14. Unius [illegible]

Nam si [illegible]

ιε'. Πρὸς δὲ τούτοις, καὶ ἑτέρου δέους ἀπηλλαγμένοι ἂν ἦσαν, εἰ νῆσον ᾤκουν, μηδέποτε προδοθῆναι τὴν πόλιν ὑπ' ὀλίγων, μηδὲ πύλας ἀνοιχθῆναι μηδὲ πολεμίους ἐπεισπεσεῖν. πῶς γὰρ νῆσον οἰκούντων ταῦτ' ἐγίγνετο; μηδ' αὖ στασιάσαι τῷ δήμῳ μηδὲν, εἰ νῆσον ᾤκουν. νῦν μὲν γὰρ εἰ στασιάσαιεν, ἐλπίδα ἂν ἔχοντες τοῖς πολεμίοις στασιάσαι, ὡς κατὰ γῆν ἐπαξόμενοι. εἰ δὲ νῆσον ᾤκουν, καὶ ταῦτα ἂν ἀδεῶς αὐτοῖς εἶχεν.

ιϛ'. Ἐπειδὴ οὖν ἐξ ἀρχῆς οὐκ ἔτυχον οἰκήσαντες νῆσον, νῦν τάδε ποιοῦσι· τὴν μὲν οὐσίαν ταῖς νήσοις παρατίθενται, πιστεύοντες τῇ ἀρχῇ τῇ κατὰ θάλατταν, τὴν δὲ Ἀττικὴν γῆν περιορῶσι τεμνομένην, γιγνώσκοντες, ὅτι εἰ αὐτὴν ἐλεήσουσιν, ἑτέρων ἀγαθῶν μειζόνων στερήσονται.

ιζ'. Ἔτι δὲ συμμαχίας καὶ τοὺς ὅρκους ταῖς μὲν ὀλιγαρχουμέναις πόλεσιν ἀνάγκη ἐμπεδοῦν. ἢν δὲ μὴ ἐμμένωσι ταῖς συνθήκαις, * ἢ ὑφ' ὅτου ἀδικεῖν ὄνομα ἀπὸ τῶν ὀλίγων, οἳ συνέθεντο;

ἅπα

15. Præterea ſi inſulam incolerent, ab alio etiam metu eſſent liberi: nimirum ut nunquam civitas à paucis proderetur, neque portæ aperirentur, neque hoſtes una irrumperent. Nam quo pacto hæc inſulam incolentibus acciderent? Nec populus inter ſe diſſideret, ſi inſulam habitarent. Nunc enim, ſi exiſterent inter eos ſeditiones, hac ſpe tumultuarentur, quod terra hoſtes arceſſituri eſſent. At vero ſi incolerent inſulam, nihil eſſet cur illud metuerent.

16. Poſteaquam igitur ab initio inſulam non habitarunt, nunc id agunt, ut facultates ſuas committant inſulis, maris imperio freti; atque interim vaſtari agrum Atticum patiantur. Animadvertunt enim ſe, ſi ejus miſereantur, ali quædam majora bona amiſſuros.

17. Præterea neceſſe eſt ut in ſocietatibus ac fœderibus civitates eæ conſtanter perſtent, quæcunque paucos rerum adminiſtratio præficiunt. Quod ſi pactis conventis non ſteterint, à quonam profecta eſſe injuria putari poſſit, quam ab illis paucis, qui pepigere

At

ἅσσα δὲ ἂν ὁ δῆμος συνθῆται, ἔξεστιν αὐτῷ ἑνὶ ἀνατιθέντι τὴν αἰτίαν τῷ λέγοντι, καὶ τῷ ἐπιψηφίσαντι, ἀρνεῖσθαι τοῖς ἄλλοις ὅτι οὐ παρῆν, οὐδὲ ἀρέσκει, οἵ γε τὰ συγκείμενα πυνθάνονται ἐν πλήρει τῷ δήμῳ. καὶ εἰ μὴ δόξαι εἶναι ταῦτα, προφάσεις μυρίας ἐξεύρηκε τοῦ μὴ ποιεῖν ὅσον ἂν μὴ βούλωνται. καὶ ἂν μέντοι κακὸν ἀναβαίνῃ ἀπὸ ὧν ὁ δῆμος ἐβούλευσεν, αἰτιᾶται ὁ δῆμος, ὡς ὀλίγοι ἄνθρωποι αὐτῷ ἀντιπράττοντες διέφθειραν· ἐὰν δέ τι ἀγαθὸν, σφίσιν αὐτοῖς τὴν αἰτίαν ἀνατιθέασι.

ιη'. Κωμῳδεῖν δ' αὖ, καὶ κακῶς λέγειν τὸν μὲν δῆμον οὐκ ἐῶσιν, ἵνα μὴ αὐτοὶ ἀκούωσι κακῶς· ἰδίᾳ δὲ κελεύουσιν, εἴ τις τινὰ βούλεται, εὖ εἰδότες, ὅτι οὐχὶ τοῦ δήμου ἐστὶν οὐδὲ τοῦ πλήθους ὁ κωμῳδούμενος ὡς ἐπιτοπολὺ, ἀλλ' ἢ πλούσιος, ἢ γενναῖος, ἢ δυνάμενος. ὀλίγοι δέ τινες τῶν πενήτων καὶ τῶν δημοτικῶν κωμῳδοῦνται· καὶ οὐδὲ οὗτοι, ἐὰν μὴ διὰ πολυπραγμοσύνην, καὶ διὰ τὸ ζητεῖν πλέον τι ἔχειν τοῦ δήμου·

At quæ populus pepigerit, in iis licet ei conferenti culpam in illum qui vel ſuaſerit, vel decretum fecerit, negare ſe aliis adfuiſſe, neque ſententiam illorum probaſſe, qui de iis de quibus convenerit, populum frequentem ſciſcitantur. Idem ſi aliter ſentiat, prætextus innumeros invenerit, quominus id faciat, quod nolint. Quod ſi mali quiddam acciderit ex eo quod populus ſcivit; queritur populus, paucos quoſdam homines adverſantes ſibi, rem totam corrupiſſe: ſin boni quid evenerit, ejus cauſſam ad ſeipſum refert.

18. Salibus comicis in populum agi, eumque proſcindi conviciis non patiuntur, ne ipſimet male audiant, ſed privatim præcipiunt, ſiquis aliquem velit. Norunt enim plerumque non è populo, neque de plebe illum eſſe, qui in comœdiis exagitetur; ſed vel opulentum, vel nobilem, vel potentem. Nimirum pauci ex egentibus ac plebeis exagitantur, ac ne illi quidem aliam ab cauſam, quam propter curioſitatem, & quod populo eſſe potiores quærant.

μου· ὥστε οὐδὲ τοὺς τοιούτους ἄχθονται κωμῳδουμένοις

ιθ΄. Φημὶ μὲν οὖν ἔγωγε τὸν δῆμον τὸν Ἀθήνησι γιγνώσκειν, οἵτινες χρηστοί εἰσι τῶν πολιτῶν, καὶ οἵτινες πονηροί. γιγνώσκοντες δὲ, τοὺς μὲν σφίσιν αὐτοῖς ἐπιτηδείους καὶ συμφόρους φιλοῦσι, κἂν πονηροὶ ὦσι, τοὺς δ χρηστοὺς μισοῦσι μᾶλλον. οὐ γὰρ νομίζουσι τὴν ἀρετὴν αὐτοῖς πρὸς τῷ σφετέρῳ ἀγαθῷ πεφυκέναι, ἀλλ' ἐπὶ τῷ κακῷ. καὶ τοὐναντίον γε τούτου, ἔνιοι ὄντες ὡς ἀληθῶ τοῦ δήμου τὴν φύσιν, οὐ δημοτικοί εἰσι.

κ΄. Δημοκρατίαν δ' ἐγὼ μὲν αὐτῷ τῷ δήμῳ συγγιγνώσκω· αὐτὸν μὲν γὰρ εὖ ποιεῖν παντὶ συγγνώμη ἐστὶν· ὅστις δὲ μὴ ὢν τοῦ δήμου εἵλετο ἐν δημοκρατουμένῃ πόλει οἰκεῖν μᾶλλον, ἢ ἐν ὀλιγαρχουμένῃ, ἀδικεῖν παρεσκευάσατο, καὶ ἔγνω, ὅτι μᾶλλον οἷόν τε διαλαθεῖν κακῷ ὄντι ἐν δημοκρατουμένῃ πόλει, ἢ ἐν ὀλιγαρχουμένῃ.

ΚΕΦ.

Quo ſit ut homines hujuſmodi exagitari moleſte non ferant.

19. Equidem dico, intelligere populum Athenienſem, qui ſint egregii cives, qui nullius momenti. Quumque hoc intelligant, amant eos qui ſunt utiles ipſis, & commodi, licet nullius pretii ſint: egregios autem potius odere. Non enim exiſtimant, virtutem multitudini utilem eſſe, ſed damnoſam. Contra, quum nonnulli natura ſint ex plebe, idque reipſa; non tamen indole plebea præditi ſunt.

20. Ac populi quidem dominatum ipſi populo condono. Nam cuivis conceſſum eſt ſibiipſi benefacere. Verum qui, quum e populo non ſit, mavult habitare in urbe populi dominatui ſubjecta, quam in ea quæ à paucis regatur: is injuſte agere conſtituit, & ſcit facilius latere ſe poſſe, ſi malus ſit, in republica populari, quam quæ à paucis adminiſtretur.

CAP.

ΚΕΦ. γ'.

Καὶ περὶ τῆς Ἀθηναίων πολιτείας τὸν μὲν τρόπον οὐκ ἐπαινῶ. ἐπειδὴ δὲ ἔδοξεν αὐτοῖς δημοκρατεῖσθαι, εὖ μοι δοκοῦσι διασώζεσθαι τὴν δημοκρατίαν, τούτῳ τῷ τρόπῳ χρώμενοι, ᾧ ἐγὼ ἐπέδειξα. ἔτι δὲ καὶ τάδε τινὰς ὁρῶ μεμφομένους Ἀθηναίους, ὅτι ἐνίοτε οὐκ ἔστιν αὐτόθι χρηματίσαι τῇ βουλῇ, οὐδὲ τῷ δήμῳ, ἐνιαυτὸν καθημένῳ ἀνθρώπῳ. καὶ τοῦτο Ἀθήνησι γίγνεται οὐδὲν δι' ἄλλο, ἢ ὅτι διὰ τὸ πλῆθος τῶν πραγμάτων οὐχ οἷοί τε πάντας ἀποπέμπειν εἰσὶ χρηματίσαντες.

β'. Πῶς γὰρ ἂν καὶ οἷοί τε εἶεν; οὕς τινας πρῶτον μὲν δεῖ ἑορτάσαι ἑορτὰς, ὅσας οὐδεμία τῶν Ἑλληνίδων πόλεων, ἐν δὲ ταύταις ἧττόν τινα δυνατόν ἐστι διαπράττεσθαι τῶν τῆς πόλεως. ἔπειτα δὲ δίκας, καὶ γραφὰς, καὶ εὐθύνας ἐκδικάζειν, ὅσας οὐδὲ οἱ σύμπαντες ἄνθρωποι ἐκδικάζουσι. τὴν δὲ βουλὴν βουλεύε-

CAP. III.

DE Athenienſium republica inſtitutum quidem non probo, ſed quia ſic viſum eſt ipſis, ut imperio populi pareant; recte mihi ſtatum popularem civitatis incolumem ſervare videntur, idque hoc pacto quo demonſtravi. Præter hoc, video nonnullos eam ob cauſſam Athenienſes reprehendere, quod interdum illic reſponſum nec à ſenatu aliquis, nec à populo poſſit impetrare, qui totum iſtic annum hæret. Fitque hoc Athenis nullam aliam ob cauſſam, quam quod ob negotiorum multitudinem omnes, reſponſo dato, dimittere non poſſint.

2. Nam qui poſſint? quum eos neceſſe ſit primum tot dies feſtos celebrare, quot nulla Græci nominis civitas celebrat; quibus occupati minus expedire reipublicæ negotia poſſunt. Deinde de tot litibus, cauſſis publicis, actorum rationibus cognoſcere, de quot ne homines quidem univerſi cognoſcunt. Itidem ſenatus neceſſa-

βουλεύεσθαι πολλὰ μὲν περὶ τοῦ πολέμου, πολλὰ δὲ περὶ πόρου χρημάτων, πολλὰ δὲ περὶ νόμων θέσεως, πολλὰ δὲ περὶ τῶν κατὰ πόλιν ἀεὶ γιγνομένων, πολλὰ δὲ καὶ τοῖς συμμάχοις, καὶ φόρον δέξασθαι, καὶ νεωρίων ἐπιμεληθῆναι, καὶ ἱερῶν. ἆρα δή τι θαυμαστόν ἐστιν, εἰ τοσούτων ὑπαρχόντων πραγμάτων μὴ οἷοί τ' εἰσὶ πᾶσιν ἀνθρώποις χρηματίσαι;

γʹ. Λέγουσι δέ τινες, ἤν τις ἀργύριον ἔχων προσίῃ πρὸς βουλὴν ἢ δῆμον, χρηματίσαι. ἐγὼ δὲ τούτοις ὁμολογήσαιμ' ἄν, ἀπὸ χρημάτων πολλὰ διαπράττεσθαι Ἀθήνησι, καὶ ἔτι ἂν πλείω διαπράττεσθαι, εἰ πλείους ἐπεδίδοσαν ἀργύριον. τοῦτο μέντοι εὖ οἶδα, διότι πᾶσι διαπράττεσθαι ἡ πόλις τῶν δεομένων οὐχ ἱκανή, οὐδ' εἰ ὁποσονοῦν χρυσίον καὶ ἀργύριον διδοίη τις αὐτοῖς.

δʹ. Δεῖ δὲ καὶ τάδε διαδικάζειν, εἴ τις τὴν ναῦν μὴ ἐπισκευάζει, ἢ κατοικοδομεῖ τι τὸ δημόσιον. πρὸς δὲ τούτοις, χορηγοῖς διαδικάσαι εἰς Διονύσια, καὶ Θαργήλια, καὶ Παναθήναια, καὶ Προμήθεια, καὶ Ἡφαίστια, ὅσα

neceſſario multa de bello deliberat, multa de ratione pecuniæ conficiundæ, multa de legum latione, multa de iis quæ in urbe quovis tempore accidunt, multa ſociorum agit in negotiis, tributum exigit, navalium pariter & templorum curam gerit. An vero fuerit mirandum, ſi, quum tot ſint negotia, dare omnibus reſponſa nequeant?

3. Verum dicunt nonnulli, dari reſponſa, ſiquis cum pecunia vel ſenatum vel populum adeat. His ego fatebor, multa poſſe Athenis pecunia impetrari; atque etiam futurum, ut plura impetrentur, ſi plures pecuniam numerent. Sed ſcio tamen, civitatem non poſſe ſufficere ad hoc, ut omnibus ea conficiantur, quæ requirunt: ne quidem ſi multo plus auri & argenti quis eis donet.

4. De his etiam cognoſci neceſſe eſt, ſi quis navim non reficit, vel ſi publicum aliquid inædificat. Præterea danda judicia choragis ad Bacchanalia, Thargelia, Panathenæa, Promethealia, Vulcanalia, idque

ὅσα ἔτη. καὶ τριήραρχοι καθίστανται τετρακόσιοι ἑκάστου ἐνιαυτοῦ, καὶ τούτων τοῖς βουλομένοις διαδικάσαι ὅσα ἔτη. πρὸς δὲ τούτοις ἀρχὰς δοκιμάσαι καὶ διαδικάσαι, καὶ ὀρφανοὺς δοκιμάσαι, καὶ φύλακας δεσμωτῶν καταστῆσαι.

ε'. Ταῦτα μὲν οὖν ὅσα ἔτη. διὰ δὲ χρόνου διαδικάσαι δεῖ στρατιᾶς, καὶ ἐάν τι ἄλλο ἐξαπιναῖον ἀδίκημα γίγνηται, ἐάν τε ὑβρίζωσί τινες ἄηθες ὕβρισμα, ἐάν τε ἀσεβήσωσι. πολλὰ ἔτι πάνυ παραλείπω. τὸ δὲ μέγιστον εἴρηται, πλὴν αἱ τάξεις τοῦ φόρου. τοῦτο δὲ γίγνεται ὡς τὰ πολλὰ δι' ἔτους πέμπτου.

ϛ'. Φέρε δὴ τοίνυν, ταῦτα οὐκ οἴεσθαι χρὴ διαδικάζειν ἅπαντα; εἰπάτω γάρ τις, ὅτι οὐ χρῆν αὐτόθι διαδικάζεσθαι. εἰ δ' αὖ ὁμολογεῖν δεῖ ἅπαντα χρῆναι διαδικάζειν, ἀνάγκη δι' ἐνιαυτοῦ. ὡς οὐδὲ νῦν δι' ἐνιαυτοῦ δικάζοντες ★ ὑπάρχουσιν, ὥστε παύειν τοὺς ἀδικοῦντας ὑπὸ τοῦ πλήθους τῶν ἀνθρώπων.

ζ'. Φέρε

idque quotannis. Et triremibus quadringenti ſingulis annis præficiuntur, quibus petentibus judicia quotannis danda ſunt. Præterea in magiſtratus examina judiciaque habenda ſunt, inquirendæ cauſſæ pupillares, cuſtodes captivorum conſtituendi.

5. Et hæc quidem ſingulis annis. Interdum & cauſſæ militares diſceptandæ ſunt, & ſi quod aliud injuſtum facinus repente exſtiterit, & ſi nonnulli petulantiam inſolitam & impium facinus commiſerint. Præter hæc valde multa ſunt, quæ ſilentio prætereo. Maxima vero pars commemorata eſt, exceptis tributorum indictionibus. Eæ plerunque quinto quolibet anno fiunt.

6. Age igitur, nonne exiſtimandum eſt, de his omnibus cognoſci debere? Dicat aliquis, ibi non eſſe cognoſcendum. At ſi fateri oportet, omnino cognoſcendum eſſe de omnibus; neceſſe eſt, per annum id fieri. Sed nunc ne quidem ad hoc anno toto judicando ſufficiunt, ut injuſte agentes coerceant, idque præ hominum multitudine.

7. Age

ζ΄. Φέρε δή, ἀλλά φησί τις χρῆναι δικάζειν μὲν, ἐλάττους δὲ δικάζειν. ἀνάγκη τοίνυν, ἐὰν μὲν ὀλίγα ποιῶνται δικαστήρια, ὀλίγοι ἐν ἑκάστῳ ἔσονται τῷ δικαστηρίῳ, ὥστε καὶ διασκευάσασθαι ῥᾴδιον ἔσται πρὸς ὀλίγους δικαστὰς, καὶ συνδικάσαι * πολὺ ἧττον δικαίως δικάζειν.

η΄. Πρὸς δὲ τούτοις οἴεσθαι χρὴ, καὶ ἑορτὰς ἄγειν χρῆναι Ἀθηναίους, ἐν αἷς οὐχ οἷόν τε δικάζειν. καὶ ἄγουσι μὲν ἑορτὰς διπλασίους ἢ οἱ ἄλλοι· ἀλλ᾽ ἐγὼ μὲν τίθημι ἴσας τῇ ὀλιγίστας ἀγούσῃ πόλει. τούτων τοίνυν τοιούτων ὄντων, οὔ φημι οἷόν τ᾽ εἶναι ἄλλως ἔχειν τὰ πράγματα Ἀθήνησιν, ἢ ὥσπερ νῦν ἔχει· πλὴν εἰ κατά τι μικρόν τι οἷόν τε τὸ μὲν ἀφελεῖν, τὸ δὲ προσθεῖναι.

θ΄. Πολὺ δ᾽ οὐχ οἷόν τε μετακινεῖν, ὥστε μὴ οὐχὶ τῆς δημοκρατίας ἀφαιρεῖν τι. ὥστε μὲν γὰρ βέλτιον ἔχειν τὴν πολιτείαν, οἷόν τε πολλὰ ἐξευρεῖν· ὥστε μέντοι ὑπάρχειν, δημοκρατίαν μὲν εἶναι, ἀρκούντως δὲ τοῦτο ἐξευρεῖν, ὅπως δὴ βέλτιον πολιτεύσονται, οὐ ῥᾴδιον· πλὴν (ὅπερ ἄρτι εἶπον) κατὰ μικρόν τι προσθέντα, ἢ ἀφελόντα.

7. Age vero, dixerit aliquis, judicare quidem debent, ſed pauciores. Ergo neceſſe eſt, ſi tribunalia pauca inſtituant, ut quolibet in judicio pauci ſint. Itaque facile fiet, ut ad paucos judices machinatio quædam inſtituatur, & per advocationes ſententiæ ferantur injuſtiores.

8. Præterea cogitandum eſt, neceſſarium eſſe Athenienſibus, ut feſtos dies agant, quibus exerceri judicia non poſſint. Et agunt illi dies feſtos duplo plures, quam alii: quanquam ego pares ponam civitati, quæ pauciſſimos agit. Quæ quum ita ſe habeant, nego poſſe rerum Athenis alium eſſe ſtatum, quam qui modo ſit: niſi paullatim tolli hoc, illud addi queat.

9. Multum certe immutari non poteſt, ut non aliquid de populi poteſtate decedat. Nam ut reſpublica melius adfecta ſit, excogitari multa poſſunt: ut autem forma popularis maneat, & ſimul hoc idonee reperiatur, quo melius adminiſtretur, id facile non eſt: extraquam, ſi paullatim, ut modo aiebam, vel aliquid addatur, vel detrahatur.

ι΄. Δοκοῦσι δὲ Ἀθηναῖοι καὶ τοῦτό μοι οὐκ ὀρθῶς βουλεύεσθαι, ὅτι τοὺς χείρους αἱροῦνται ἐν ταῖς πόλεσι ταῖς στασιαζούσαις. οἱ δὲ τοῦτο γνώμῃ ποιοῦσιν. εἰ μὲν γὰρ ᾑροῦντο τοὺς βελτίους, ᾑροῦντ᾽ ἂν οὐχὶ τοὺς ταὐτὰ γιγνώσκοντας σφίσιν αὐτοῖς. ἐν οὐδεμιᾷ γὰρ πόλει τὸ βέλτιστον εὔνουν ἐστὶ τῷ δήμῳ, ἀλλὰ τὸ κάκιστον ἐν ἑκάστῃ ἐστὶ πόλει εὔνουν τῷ δήμῳ. οἱ γὰρ ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσι.

ια΄. Διὰ ταῦτα οὖν Ἀθηναῖοι τὰ σφίσιν αὐτοῖς προσήκοντα αἱροῦνται. ὁποσάκις δ᾽ ἐπεχείρησαν αἱρεῖσθαι τοὺς βελτίστους, οὐ συνήνεγκεν αὐτοῖς, ἀλλ᾽ ἐντὸς ὀλίγου χρόνου ὁ δῆμος ἐδούλευσεν· τὸ μὲν Βοιωτοῖς· τοῦτο δὲ, ὅτε Μιλησίων εἵλοντο τοὺς βελτίστους, ἐντὸς ὀλίγου χρόνου ἀποστάντες τὸν δῆμον κατέκοψαν· τοῦτο δὲ, ὅτε εἵλοντο Λακεδαιμονίους ἀντὶ Μεσσηνίων, ἐντὸς ὀλίγου χρόνου Λακεδαιμόνιοι καταστρεψάμενοι Μεσσηνίους, ἐπολέμουν Ἀθηναίοις.

ιβ΄. Ὑπο-

10. In hoc quoque Athenienſes non rectum mihi ſequi conſilium videntur, quod in oppidis ſeditione agitatis deteriores aliis præferant. Faciunt hoc autem certo judicio. Nam ſi meliores anteferrent, anteferrent eos qui non in eadem cum ipſis eſſent ſententia. Quippe nulla in civitate benevoli ſunt optimates vulgo, ſed deterrimi quique ſingulis in urbibus vulgo bene volunt. Exiſtit enim in paribus erga pares benevolentia.

11. Quapropter etiam Athenienſes ſibi congruentia præferunt. Quoties autem partes optimatum ſequi conſtituerunt, nequaquam hoc eis profuit, ſed brevi plebs in ſervitutem redacta fuit. Id à Bœotis contigit. Rurſus ubi Mileſiorum optimates amplexi fuiſſent, intra modicum tempus illi defecerunt, & plebem trucidarunt. Itidem quum Lacedæmonios Meſſeniis prætuliſſent, non multo poſt ſubactis Lacedæmonii Meſſeniis, bellum adverſus Athenienſes ſuſceperunt.

12. For-

ιβʹ. Ὑπολάβοι δέ τις ἂν, ὡς οὐδεὶς ἄρα ἀδίκως ἠτίμωται Ἀθήνησιν. ἐγὼ δέ φημι τινὰς εἶναι οἳ ἀδίκως ἠτίμωνται, ὀλίγοι μέντοι τινές. ἀλλ᾽ οὐκ ὀλίγων δεῖ τῶν ἐπιθησομένων τῇ δημοκρατίᾳ τῇ Ἀθήνησιν. ἐπεί τοι καὶ οὕτως ἔχει, οὐδὲν ἐνθυμεῖσθαι ἀνθρώπους, οἵτινες δικαίως ἀτιμοῦνται, ἀλλ᾽ οἵτινες ἀδίκως.

ιγʹ. Πῶς ἂν οὖν ἀδίκως οἴοιτό τις ἂν τοὺς πολλοὺς ἠτιμῶσθαι Ἀθήνησιν, ὅπου ὁ δῆμός ἐστιν ὁ ἄρχων τὰς ἀρχάς; ἐκ δὲ τοῦ μὴ δικαίως ἄρχειν, μηδὲ λέγειν τὰ δίκαια, ἢ πράττειν, ἐκ τοιούτων ἄτιμοί εἰσιν Ἀθήνησι. ταῦτα χρὴ λογιζόμενον μὴ νομίζειν εἶναι τι δεινὸν ἀπὸ τῶν ἀτίμων Ἀθήνησιν.

ΞΕΝΟ-

12. Fortaſſis autem ſuſpicetur aliquis, neminem Athenis injuſte ſuis honoribus ſpoliari. Ego vero quoſdam eſſe dico, qui per injuriam ab honoribus remoti fuerint, ſed paucos. At paucos eſſe non oportet, qui popularem Athenis ſtatum adgredi velint. Quippe ſic ſe res habet, ut nihil animis ii concipiant, quibus jure honores ademti ſunt, ſed quibus injuria.

13. Quonam autem modo putare poſſit aliquis, multos Athenis infamia notari, quum illic vulgus hominum magiſtratus gerat? Ex eo vero quod non juſte gerant imperia, neque juſta dicant aut faciant, ex his, inquam, cauſis Athenis ſint inhonorati. Hæc qui ſecum expendit, non eſt quod cogitet; Athenis quidquam eſſe periculi ab inhonoratis.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ ΣΥΜΠΟΣΙΟΝ.

ΚΕΦ. α'.

ΑΛΛ' ἐμοὶ δοκεῖ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἔργα οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα, ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς. οἷς δὲ παραγενόμενος ταῦτα γιγνώσκω, δηλῶσαι βούλομαι.

β'. Ἦν μὲν γὰρ Παναθηναίων τῶν μεγάλων ἱπποδρομία, Καλλίας δὲ ὁ Ἱππονίκου ἐρῶν ἐτύγχανεν Αὐτολύκου, παιδὸς ὄντος, καὶ νενικηκότα αὐτὸν παγκράτιον ἧκεν ἄγων ἐπὶ τὴν θέαν. ὡς δὲ ἡ ἱπποδρομία ἔληξεν, ἔχων τόν τε Αὐτολυκον,

καὶ

XENOPHONTIS CONVIVIUM.

CAP. I.

MIHI vero memoratu digna eſſe videntur, quæ ab honeſtis & præſtantibus viris non tantum ſerio ſed etiam inter jocandum aguntur. Quibus autem interfuerim, unde ſic ſtatuam, equidem indicare volo.

2. Panathenæis magnis equeſtres ludi celebrantur, & Callias, Hipponici filius, Autolycum adhuc puerum, quem amore complectebatur, forte tunc quinquertii victorem ad ludorum ſpectacula deducebat. Poſteaquam ludi equeſtres peracti fuiſſent, Callias una cum Autolyco, e-

juſque

καὶ τὸν πατέρα αὐτοῦ, ἀπήει εἰς τὴν ἐν Πειραιεῖ οἰκίαν, συνείπετο δὲ αὐτῷ καὶ Νικήρατος.

γʹ. Ιδὼν δὲ ὁμοῦ ὄντας Σωκράτην τε, καὶ Κριτόβουλον, καὶ Ερμογένην, καὶ Αντισθένην, καὶ Χαρμίδην, τοῖς μὲν ἀμφ᾽ Αὐτόλυκον ἡγεῖσθαί τινα ἔταξεν, αὐτὸς δὲ προσῆλθε τοῖς ἀμφὶ Σωκράτην· καὶ εἶπεν·

δʹ. Εἰς καλόν γε ὑμῖν συντετύχηκα. ἑστιᾶν γὰρ μέλλω Αὐτόλυκον, καὶ τὸν πατέρα αὐτοῦ. οἶμαι οὖν πολὺ ἂν τὴν κατασκευήν μοι λαμπροτέραν φανῆναι, εἰ ἀνδράσιν ἐγκεκαθαρμένοις τὰς ψυχὰς, ὥσπερ ὑμῖν, ὁ ἀνδρὼν κεκοσμημένος εἴη μᾶλλον, ἢ εἰ στρατηγοῖς, καὶ ἱππάρχαις, καὶ σπουδάρχαις.

εʹ. Καὶ ὁ Σωκράτης εἶπεν· ἀεὶ σὺ ἐπισκώπτεις ἡμᾶς καταφρονῶν, ὅτι σὺ μὲν Πρωταγόρᾳ τε πολὺ ἀργύριον δέδωκας ἐπὶ σοφίᾳ, καὶ Γ[illegible]ίᾳ, καὶ Προδίκῳ, καὶ ἄλλοις πολλοῖς· ἡμᾶς δὲ ὁρᾷς αὐτουργούς τινας τῆς φιλοσοφίας ὄντας.

ϛʹ. Καὶ

juſque patre, ad ædes ſuas, quas habebat in Piræo, pergebat; etiam comitante Nicerato.

3. Quumque Socratem, & Critobulum, & Hermogenem, & Antiſthenem, & Charmidem congreſſos eodem loco conſpexiſſet; juſſo quodam eos deducere, qui erant cum Autolyco, acceſſit ad hos qui erant apud Socratem, & inquit:

4. Peropportune in vos incidi. Nam Autolycum, ejuſque patrem, convivio ſum excepturus. Quamobrem futurum exiſtimo, ut hic apparatus ſplendidior ſit, ſi viris, quibus animi purgati ſint, quo in numero vos eſtis, ornatum ſit conclave virorum potius, quam imperatoribus, & equitum magiſtris, & magiſtratuum petitoribus.

5. Ad ea Socrates: Semper tu nos contemnendo irrides, ait, quod ſapientiæ diſcendæ homine ingentem Protagoræ pecuniam dederis, & Gorgiæ, & Prodico, & aliis multis; nos vero videas noſtramet opera ſapientiæ ſtudium conſectari.

6. Tum

ϛ'. Καὶ ὁ Καλλίας· καὶ πρόσθεν μέν γε, ἔφη, ἀπεκρυπτόμην ὑμᾶς ἔχων πολλὰ καὶ σοφὰ λέγειν. νῦν δέ, ἐὰν παρ' ἐμοὶ ἦτε, ἐπιδείξω ὑμῖν ἐμαυτὸν πάνυ πολλῆς σπουδῆς ἄξιον ὄντα.

ζ'. Οἱ οὖν ἀμφὶ τὸν Σωκράτην τὸ πρῶτον μὲν (ὥσπερ εἰκὸς ἦν) ἐπαινοῦντες τὴν κλῆσιν, οὐχ ὑπισχνοῦντο συνδειπνήσειν· ὡς δὲ πάνυ ἀχθόμενος φανερὸς ἦν, εἰ μὴ ἕψοιντο, συνηκολούθησαν. ἔπειτα δὲ αὐτῷ οἱ μὲν γυμνασάμενοι καὶ χρισάμενοι, οἱ δὲ καὶ λουσάμενοι παρῆλθον.

η'. Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο, οἱ δὲ ἄλλοι, ὥσπερ εἰκός, κατεκλίθησαν. εὐθὺς μὲν οὖν ἐννοήσας τὰ γιγνόμενα, ἡγήσατ' ἂν φύσει βασιλικόν τι κάλλος εἶναι, ἄλλως τε καὶ ἢν μετ' αἰδοῦς καὶ σωφροσύνης, καθάπερ Αὐτόλυκος τότε, κέκτηταί τις αὐτό.

θ'. Πρῶτον μὲν γάρ, ὥσπερ ὅταν φέγγος τι ἐν νυκτὶ φανῇ, πάντων προσάγεται τὰ ὄμματα, οὕτω καὶ τότε τοῦ Αὐτολύκου

τὸ

6. Tum Callias: Equidem antehac, ait, celabam vos multa, eaque ſapientiæ plena, quæ proferre poteram. Verum ſi jam apud me fueritis, demonſtrabo vobis, eſſe me quantivis hominem pretii.

7 Socrati autem qui aderant, initio collaudata (ceu par erat) ipſius invitatione, cœnaturos ſe cum eo non pollicebantur. Quum autem præ ſe ferret, graviter ſe laturum, ſi non ſequerentur, comitati ſunt eum. Deinde partim exercitati & uncti, partim etiam loti quum eſſent, ad ipſum acceſſerunt.

8. Autolycus apud patrem adſidebat, aliis, uti conveniebat, accumbentibus. Atqui ubi ſtatim animadvertiſſet, quid ageretur; ita exorſus eſt, elegantiam formæ à natura quiddam eſſe regium, præſertim ſi quis hanc, ut tum Autolycus, cum verecundia modeſtiaque conjunctam haberet.

9. Primum enim, veluti quum noctu jubar aliquod exoritur, omnium oculos illud in ſe convertit: ita tum quoque Autolyci

venuſtas

τὸ κάλλος πάντων εἷλκε τὰς ὄψεις πρὸς αὐτόν. ἔπειτα τῶν ὁρώντων οὐδεὶς οὐκ ἔπασχέ τι τὴν ψυχὴν ὑπ' ἐκείνου. οἱ μέν γε σιωπηρότεροι ἐγίγνοντο, οἱ δὲ καὶ ἐσχηματίζοντό πως.

ι'. Πάντες μὲν οὖν οἱ ἐκ θεῶν του κατεχόμενοι, ἀξιοθέατοι δοκοῦσιν εἶναι· ἀλλ' οἱ μὲν ἐξ ἄλλων πρὸς τὸ γοργότερόν τε ὁρᾶσθαι, καὶ φοβερώτερον φθέγγεσθαι, καὶ σφοδρότεροι εἶναι φέρονται. οἱ δὲ ὑπὸ τοῦ σώφρονος ἔρωτος ἔνθεοι, τά τε ὄμματα φιλοφρονεστέρως ἔχουσι, καὶ τὴν φωνὴν πρᾳοτέραν ποιοῦνται, καὶ τὰ σχήματα εἰς τὸ ἐλευθεριώτατον ἄγουσιν. ἃ δὴ καὶ Καλλίας τότε διὰ τὸν ἔρωτα πράττων, ἀξιοθέατος ἦν τοῖς τετελεσμένοις τούτῳ τῷ θεῷ.

ια'. Ἐκεῖνοι μὲν οὖν σιωπῇ ἐδείπνουν, ὥσπερ τοῦτο ἐπιτεταγμένον αὐτοῖς ὑπὸ κρείττονός τινος. Φίλιππος δὲ ὁ γελωτοποιός, κρούσας τὴν θύραν, εἶπε τῷ ὑπακούσαντι εἰσαγγεῖλαι, ὅστις τε εἴη, καὶ διότι κατάγεσθαι βούλοιτο·

συνε-

venuſtas oculos omnium ad ſe trahebat. Deinde illorum, qui eum adſpiciebant, nemo erat, cujus animus hunc intuendo non adficeretur. Alii plus ſolito ſilebant, alii etiam geſtu aliquo immutabantur.

10. Ac videntur quidem omnes ſpectatu digni, qui ab aliquo deûm afflati detinentur: verum qui ab aliis Diis afflati ſunt, præterquam quod adſpectu ſunt truculentiores, & in loquendo terribiliores, etiam vehementiores eſſe videntur. At vero qui ab amoris pudici numine adflati ſunt, ii tum quod oculos adtinet, amabiliores ſunt; tum vocem mitiorem fingunt, & geſtus ad ſpeciem quamdam maxime liberalem conformant. Quæ quum id temporis præ amore Callias faceret, conſpicuus illis erat, qui eſſent huic deo initiati.

11. Atque hi quidem cœnabant taciti, quaſi mandatum hoc ipſis ab aliquo potiore fuiſſet. Philippus autem joculator, quum fores pulſaſſet, juſſit ut is qui venerat auditũ, renuntiaret intro, quinam eſſet, & quamobrẽ ad ipſos divertere vellet.

Addeσυνεσκευασμένος τε παρεῖναι ἔφη πάντα τὰ ἐπιτήδεια, ὥστε δειπνεῖν τἀλλότρια. καὶ τὸν παῖδα δὲ ἔφη πάνυ πιέζεσθαι, διά τε τὸ φέρειν μηδὲν, καὶ διὰ τὸ ἀνάριστον εἶναι.

ιβʹ. Ὁ οὖν Καλλίας ἀκούσας ταῦτα, εἶπεν· ἀλλὰ μέντοι, ὦ ἄνδρες, αἰσχρὸν στέγης γε φθονῆσαι. εἰσίτω οὖν. καὶ ἅμα ἀπέβλεψεν εἰς τὸν Αὐτόλυκον, δηλονότι ἐπισκοπῶν, τί ἐκείνῳ δόξειε τὸ σκῶμμα εἶναι.

ιγʹ. Ὁ δὲ, στὰς ἐπὶ τῷ ἀνδρῶνι, ἔνθα τὸ δεῖπνον ἦν, εἶπεν· ὅτι μὲν γελωτοποιός εἰμι, ἴστε πάντες. ἥκω δὲ προθύμως, νομίσας γελοιότερον εἶναι, τὸ ἄκλητον, ἢ τὸ κεκλημένον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον. κατακλίνου τοίνυν, ἔφη ὁ Καλλίας. καὶ γὰρ οἱ παρόντες, σπουδῆς μὲν, ὡς ὁρᾷς, μεστοὶ, γέλωτος δὲ ἴσως ἐνδεέστεροι.

ιδʹ. Δειπνούντων δὲ αὐτῶν ὁ Φίλιππος γελοῖόν τι εὐθὺς ἐπεχείρει λέγειν, ἵνα δὴ ἐπιτελοίη ὧνπερ ἕνεκα ἐκαλεῖτο ἑκάστοτε ἐπὶ τὰ δεῖπνα. ὡς δ' οὐκ ἐκίνησε γέλωτα, τότε μὲν ἀχθε-

Addebat, ſe inſtructum adeſſe ab omnibus rebus neceſſariis, ad ſumendum cœnam alienam. Etiam puerum aiebat admodum premi, tum quod nihil ferret, tum quod eſſet impranſus.

12. Quibus auditis Callias: Turpe fuerit, ait, ô viri, tectum ei denegare. Quamobrem ingrediatur ſane. Simul vultu ad Autolycum converſo, cujuſmodi ſcilicet is jocus illi viſus eſſet, conſiderabat.

13. Philippus autem quum ad virile contubernium conſtitiſſet, ubi tum cœnabatur: Noſtis, ait, omnes, eſſe me joculatorem. Lubens autem veni, quod magis eſſe ridiculum exiſtimarem, ad cœnam invocatum accedere, quam ſi invitatus eſſem. Accumbito igitur, ait Callias. Nam quotquot heic adſunt, toti rebus abundant ſeriis, ut vides, ac riſu fortaſſis indigent.

14. Inter cœnandum Philippus ſtatim ridiculi quiddam dicere conabatur, ut nimirum perageret ea quorum cauſſa vocari plerumque ad cœnas conſueverat. Verum ubi riſum non moviſſet, moleſte id ſe ferre

ἀχθεσθεὶς φανερὸς ἐγένετο. αὖθις δ' ὀλίγον ὕστερον ἄλλό τι γελοῖον ἐβούλετο λέγειν. ὡς δὲ οὐδὲ τότε ἐγέλασαν ἐπ' αὐτῷ, ἐν τῷ μεταξὺ παυσάμενος τοῦ δείπνου, συγκαλυψάμενος κατέκειτο.

ιε΄. Καὶ ὁ Καλλίας· τί τοῦτ', ἔφη, ὦ Φίλιππε; ἀλλ' ἢ ὀδύνη σε εἴληφε; καὶ ὃς ἀναστενάξας εἶπε· ναὶ μὰ Δί, ὦ Καλλία, μεγάλη γε. ἐπεὶ γὰρ γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν, ἔρρει τὰ ἐμὰ πράγματα. πρόσθεν μὲν γὰρ τούτου ἕνεκα ἐκαλούμην ἐπὶ τὰ δεῖπνα, ἵνα εὐφραίνοιντο οἱ συνόντες, δι' ἐμὲ γελῶντες· νῦν δὲ τίνος ἕνεκα καὶ καλεῖ μέ τις; οὔτε γὰρ ἔγωγε σπουδάσαι ἂν δυναίμην μᾶλλον, ἤπερ ἀθάνατος γενέσθαι, οὔτε μὴν ὡς ἀντικληθησόμενος καλεῖ μέ τις, ἐπεὶ πάντες ἴσασιν, ὅτι ἀρχὴν οὐδὲ νομίζεται εἰς τὴν ἐμὴν οἰκίαν δεῖπνον εἰσφέρεσθαι. καὶ ἅμα λέγων ταῦτα ἀπεμύττετό τε, καὶ τῇ φωνῇ σαφῶς κλαίειν ἐφαίνετο.

ιϛ΄. Πάντες μὲν οὖν παρεμυθοῦντό τε αὐτὸν, ὡς αὖθις γελασόμενοι,

ferre non obſcure indicabat: nec multo poſt, rurſum aliud quiddam rei ridiculæ proferre volebat. Quum autem ne tum quidem ad id arriſiſſent, à cibis abſtinuit; ac interim [cœnantibus aliis,] caput obnubens, ita jacebat.

15. Et Callias: Quid hoc rei eſt, Philippe? ait. Num te dolor aliquis invaſit? Tum ille ſuſpirans: Ingens profecto quidam, inquit, mi Callia. Quippe quum riſus ex hominum vita perierit, actum eſt de rebus meis. Nam antehac propterea vocabar ad cœnas, ut quotquot adeſſent, excitato per me riſu exhilararentur: nunc vero cujus me rei cauſſ quiſpiam invitet? Etenim ſeri proferre non magis equidem po ſum, quam immortalis fieri: ne que vocabit me quiſquam ſcilice ut à me viciſſim invitetur, quo norint omnes, prorſus in mo non eſſe, ut cœna meas in æd inferatur. Atque interim dum h diceret, nares emungebat, & vo fletum egregie exprimebat.

16. Quamobrem omnes hom nem conſolari, quaſi iterum ri eſſe

σύμμαχοι, ϗ δειπνεῖν ἐκέλευον. Κριτόβουλος δὲ ϗ ἐξεκάγχασεν ἐπὶ τῷ οἰκτισμῷ αὐτοῦ. ὁ δὲ ὡς ᾔσθετο τοῦ γέλωτος, ἀνεκαλύψατό τε, ϗ τῇ ψυχῇ παρακελευσάμενος θαῤῥεῖν, ὅτι ἔσονται συμβολαί, πάλιν ἐδείπνει.

ΚΕΦ. β'.

ΩΣ δ' ἀφῃρέθησαν αἱ τράπεζαι, ϗ ἐσπείσαντο, ϗ ἐπαιάνισαν, ἔρχεται τις αὐτοῖς ἐπὶ κῶμον Συρακούσιος ἄνθρωπος, ἔχων τε αὐλητρίδα ἀγαθήν, ϗ ὀρχηστρίδα τῶν τὰ θαύματα δυναμένων ποιεῖν, ϗ παῖδα πάνυ γε ὡραῖον, ϗ πάνυ καλῶς κιθαρίζοντα, ϗ ὀρχούμενον. ταῦτα δὲ ϗ ἐπιδεικνὺς ὡς ἐν θαύματι, ἀργύριον ἐλάμβανεν.

β'. Ἐπεὶ δὲ αὐτοῖς ἡ αὐλητρὶς μὲν ηὔλησεν, ὁ δὲ παῖς ἐκιθάρισε, ϗ ἐδόκουν μάλα ἀμφότεροι ἱκανῶς εὐφραίνειν, εἶπεν ὁ Σωκράτης· νὴ Δί', ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς. οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ

eſſent; atque uti cœnaret, hortari; Critobulo in hac commiſeratione cachinnum tollente. Ibi Philippus, ut riſum audierat, detecta facie ſuum ipſius animum cohortatus, uti confideret, non defutura ſibi convivia, rurſus cœnabat.

CAP. II.

MEnſis tandem ablatis, ac libationibus pæaneque abſolutis: Syracuſanus quidam ad comeſſationem accedit, qui ſecum & tibicinam egregiam, & ſaltatricem ex earum numero haberet, quæ mira quædam efficiunt, itemque formoſum admodum puerum, belle admodum canentem cithara, & ſaltantem. Atque hæc ille miraculi loco exhibendo, pecuniam accipiebat.

2. Poſteaquam tibicina & puer ceciniſſent, illa tibia, hic cithara, viderenturque ſatis homines exhilaraſſe: Profecto, mi Callia, inquit Socrates, convivio nos abſoluto rebus omnibus excipis. Non enim tantum cœnam minime contemnendam nobis adpoſuiſti, ſed

ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα παρέχεις.

γ'. Καὶ ὃς ἔφη· τί οὖν; εἰ καὶ μύρον τις ἡμῖν ἐνέγκαι, ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα; μηδαμῶς, ἔφη ὁ Σωκράτης· ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικί, ἄλλη δὲ ἀνδρὶ καλή, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν ἀνδρί, ἄλλη δὲ γυναικὶ πρέπει. καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκα ἀνὴρ οὐδεὶς μύρῳ χρίεται. αἱ μέντοι γυναῖκες, ἄλλως τε καὶ * ἐὰν ὅταν νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου, καὶ Κριτοβούλου, μύρου * μέν τι καὶ προσδέονται. αὗται γὰρ τούτου ὄζουσιν.

δ'. Ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ καὶ παροῦσα ἡδίων ἢ μύρου γυναιξί, καὶ ἀποῦσα ποθεινοτέρα. καὶ γὰρ δὴ μύρῳ μὲν ὁ ἀλειψάμενος καὶ δοῦλος καὶ ἐλεύθερος, εὐθὺς ἅπας ὅμοιον ὄζει· αἱ γε ἀπὸ τῶν ἐλευθερίων μόχθων ὀσμαί, ἐπιτηδευμάτων τε πρῶτον, καὶ χρόνου πολλοῦ δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ ἐλευθέριοι ἔσεσθαι.

ε'. Καὶ

sed etiam ſpectacula & acroamata jucundiſſima exhibes.

3. Tum ille: Quid ergo, inquit, ſi quis unguentum nobis adtulerit, ut etiam fragrantia odoris excipiamur? Nequaquam, ait Socrates. Nam uti veſtis alia viro, alia mulieri pulchra eſt: ſic alius odor virum, alius mulierem decet. Nemo certe virorum unguento viri cauſſa ſeſe ungit. Mulieres vero præſertim ſi ſponſæ ſint, quemadmodum jam eſt illa Nicerati, & Critobuli, nec illæ quidem unguento indigent aliunde. Nam ipſæmet unguentum redolent.

4. At odor olei, quo in gymnaſiis utimur, ſiquidem adſit, gratior eſt, quam unguenti mulieribus, & magis ſi abſit, expetitur. Etenim ſi quis unguento ſit delibutus, ſive ſervus, ſeu ingenuus, mox illorum quivis eodem modo redolet. At qui ſunt ex laboribus exercitiorum liberalium odores, primum & exercitationes & longum tempus deſiderant, ſi quidem & ſuaves & liberales eſſe debeant.

5. Tum

ε'. Καὶ ὁ Λύκων εἶπεν· οὐκοῦν νέοις μὲν ἂν εἴη ταῦτα· ἡμᾶς δὲ τοὺς μηκέτι γυμναζομένους τίνος ὄζειν δεήσει; καλοκἀγαθίας, νὴ Δί', ἔφη ὁ Σωκράτης. καὶ πόθεν ἄν τις τοῦτο τὸ χρίσμα λάβοι; οὐ, μὰ Δί' (ἔφη) οὐ παρὰ τῶν μυροπωλῶν. ἀλλὰ πόθεν δή; ὁ μὲν Θέογνις ἔφη,

Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

ς'. Καὶ ὁ Λύκων εἶπεν· ἀκούεις ταῦτα, ὦ υἱέ; ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, καὶ χρῆταί γε. ἐπεὶ γοῦν νικηφόρος βούλοιτο τοῦ παγκρατίου γενέσθαι, σὺν σοὶ σκεψάμενος αὖ, ὃς ἂν δοκῇ αὐτῷ ἱκανώτατος εἶναι εἰς τὸ ταῦτα ἐπιτηδεῦσαι, τούτῳ συνέσται.

ζ'. Ἐνταῦθα δὴ πολλοὶ ἐφθέγξαντο. καὶ ὁ μέν τις αὐτῶν εἶπε· ποῦ οὖν εὑρήσει τούτου διδάσκαλον; ὁ δέ τις, ὡς οὐδὲ διδακτὸν * τούτου εἴη· ἕτερος δέ τις, ὡς εἴπερ τι καὶ ἄλλο καὶ τοῦτο μαθητόν. ὁ δὲ Σωκράτης ἔφη.

5. Tum Lyco: Hæc igitur ad juvenes pertinent, ait. Nos autem, qui exercitiis illis non amplius utimur, quid redolere debemus? Virtutem profecto & honeſtatem, ait, Socrates. Atque undè quis illud unguentum ſumſerit? Nequaquam certe, ait, ab unguentario. Unde igitur quæſo? Theognis dixit.

Juſti juſta docent: ſed ſi verſaberis inter
Pravos, amittes quod tibi mentis adeſt.

6. Tum Lyco: Audis hæc, inquit, fili? Profecto, ait Socrates, & quidem ad uſum confert. Quoniam igitur quinquertii victor eſſe cupit, ubi tecum conſiderarit, quisnam ad exercendum hoc ſtudii genus illi maxime convenire videatur, ejus conſuetudine utetur.

7. Atq; heic varii multorum ſermones erant. Unus inter alios aiebat: Ubinam ad hoc magiſtrum reperiret? Alius, ne doceri quidem id poſſe, dicebat. Rurſus alius quiſpiam, ſi quid eſſet aliud, quod diſci poſſet, hoc certe poſſe. Tum Socrates:

ἔφη· τοῦτο μὲν ἐπειδὴ ἀμφίλογόν ἐστιν, εἰσαῦθις ἀποθώμεθα· νυνὶ δὲ τὰ προκείμενα ἀποτελῶμεν. ὁρῶ γὰρ ἔγωγε τήνδε τὴν ὀρχηστρίδα ἐφεστηκυῖαν, καὶ τροχούς τινα αὐτῇ προσφέροντα.

η'. Ἐκ τούτου δὴ ηὔλει μὲν αὐτῇ ἡ ἑτέρα. παρεστηκὼς δέ τις τῇ ὀρχηστρίδι ἀνεδίδου τοὺς τροχοὺς μέχρι δώδεκα. ἡ δὲ, λαμβάνουσα ἅμα τε ὠρχεῖτο, καὶ ἀνεῤῥίπτει * δινουμένους, συντεκμαιρομένη ὅσον ἔδει ῥίπτειν ὕψος, ὡς ἐν ῥυθμῷ δέχεσθαι αὐτούς.

θ'. Καὶ ὁ Σωκράτης εἶπεν· ἐν πολλοῖς μὲν, ὦ ἄνδρες, καὶ ἄλλοις δῆλον, καὶ ἐν οἷς δὲ ἡ παῖς ποιεῖ, ὅτι ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρὸς οὖσα τυγχάνει, γνώμης δὲ καὶ ἰσχύος δεῖται. ὥστε εἴ τις ὑμῶν γυναῖκα ἔχει, θαῤῥῶν διδασκέτω ὅ,τι βούλοιτ᾽ ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι.

ι'. Καὶ ὁ Ἀντισθένης· πῶς οὖν, ἔφη, ὦ Σώκρατες, οὕτω γιγνώσκων, οὐ καὶ σὺ παιδεύεις Ξανθίππην, ἀλλὰ χρῇ γυναικὶ

τῶν

crates: Quando controverſum hoc eſt, inquit, in aliud tempus rejiciamus. Nunc quæ propoſita ſunt, abſoluamus. Nam video ſaltatricem hanc adſtare, & orbes quemdam ei adferre.

8. Secundum hæc tibiâ canebat illa altera, & adſtans ſaltatrici quidam, rotulas ei tradebat ad duodecim. Quibus acceptis illa, ſimul & ſaltabat, & vibratas jactabat ſurſum, facile conjiciens, quamnam in altitudinem conjiciendæ eſſent, ut eas concinne poſſet excipere.

9. Tum Socrates: Cum ex aliis rebus, inquit, amici, tum ex iis quæ puella hæc præſtat, perſpicuum eſt, ſexus muliebris indolem nihilo deteriorem eſſe virili, niſi quod & conſilium, & robur quoddam eum deficiat. Quapropter ſi cui veſtrum uxor eſt, fidenter eam doceat, quidquid tamdem ſit, in quo illam peritam habere cupit.

10. Heic Antiſthenes: Cur igitur, ait, qui ea ſis in ſententia, Socrates, non tu quoque Xanthippam inſtituis, quam uxorem habes

τῶν οὐσῶν, οἶμαι δὲ καὶ τῶν γεγενημένων, καὶ τῶν ἐσομένων, χαλεπωτάτη; ὅτι, ἔφη, ὁρῶ καὶ τοὺς ἱππικοὺς βουλομένους γενέσθαι, οὐ τοὺς εὐπειθεστάτους, ἀλλὰ τοὺς θυμοειδεῖς ἵππους κτωμένους. νομίζουσι γάρ, ἢν τοὺς τοιούτους δύνωνται κατέχειν, ῥᾳδίως τοῖς γε ἄλλοις ἵπποις χρήσεσθαι. κἀγὼ δὴ βουλόμενος ἀνθρώποις χρῆσθαι καὶ ὁμιλεῖν, ταύτην κέκτημαι, εὖ εἰδώς, ὅτι εἰ ταύτην ὑποίσω, ῥᾳδίως τοῖς γε ἄλλοις ἅπασιν ἀνθρώποις συνέσομαι.

ια΄. Καὶ οὗτος μὲν δὴ ὁ λόγος οὐκ ἀπὸ τοῦ σκοποῦ ἔδοξεν εἰρῆσθαι. μετὰ δὲ τοῦτο κύκλος εἰσηνέχθη περίμεστος ξιφῶν ὀρθῶν. εἰς οὖν ταῦτα ἡ ὀρχηστρὶς ἐκυβίστα τε καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν. ὥστε οἱ μὲν θεώμενοι ἐφοβοῦντο μή τι πάθῃ, ἡ δὲ θαῤῥούντως τε καὶ ἀσφαλῶς ταῦτα διεπράττετο.

ιβ΄. Καὶ ὁ Σωκράτης καλέσας τὸν Ἀντισθένην, εἶπεν· οὔτοι τούς γε θεωμένους τάδε ἀντιλέξειν ἔτι οἴομαι, ὡς οὐχὶ καὶ

ἡ

habes omnium, quæ ſunt, & fuerunt, ut arbitror, & deinceps erunt, acerbiſſimam? Quod inquit, eos etiam video, qui equeſtris rei peritiſſimi fieri volunt, non illos ſibi equos comparare, qui lubentiſſime pareant, ſed valde animoſos: exiſtimant enim, ſe, ſi tales cohibere poſſint, facile alios etiam equos tractaturos. Itaque & ipſe quum uti hominum conſuetudine cuperem, hanc mihi quæſivi; quod futurum ſcirem, ut ſi eam tolerare poſſem, facile cum univerſis hominibus ceteris verſarer.

11. Atque hæc quidem oratio minime à ſcopo proferri viſa eſt. Secundum hæc illatus eſt circulus quidam, gladiis erectis undique plenus: inter quos ſaltatrix in caput ſaliebat, ac rurſus ſupra eos in caput exiliebat. Itaque metuebant ſpectatores, ne quid accideret ei; quum illa confidenter ac tuto hæc faceret.

12. Tum Socrates adpellato Antiſthene: Non amplius contradicturos mihi ſpectatores arbitror, ait, quin fortitudo quoque

ſub

ἡ ἀνδρεία διδακτὸν, ὁπότε αὕτη, καίπερ γυνὴ οὖσα, οὕτω τολμηρῶς εἰς τὰ ξίφη ἵεται.

ιγ'. Καὶ ὁ Ἀντισθένης εἶπεν· ἆρ' οὖν καὶ τῷδε τῷ Συρακοσίῳ κράτιστον, ἐπιδείξαντι τῇ πόλει τὴν ὀρχηστρίδα εἰπεῖν, ἐὰν διδῶσιν αὐτῷ Ἀθηναῖοι χρήματα, ποιήσειν πάντας Ἀθηναίους τολμᾶν ὁμόσε ταῖς λόγχαις ἰέναι;

ιδ'. Καὶ ὁ Φίλιππος· νὴ Δί', ἔφη, καὶ μὴν ἔγωγε ἡδέως ἂν θεώμην Πείσανδρον τὸν δημηγόρον μανθάνοντα κυβιστᾶν εἰς τὰς μαχαίρας, ὃς νῦν διὰ τὸ μὴ δύνασθαι λόγχαις ἀντιβλέπειν, οὐδὲ συστρατεύεσθαι ἐθέλει.

ιε'. Ἐκ τούτου ὁ παῖς ὠρχήσατο. καὶ ὁ Σωκράτης εἶπεν· εἴδετ' (ἔφη) ὡς καλὸς παῖς ὢν, ὅμως σὺν τοῖς σχήμασιν ἔτι καλλίων φαίνεται, ἢ ὅταν ἡσυχίαν ἔχῃ. καὶ ὁ Χαρμίδης εἶπεν· ἐπαινοῦντι ἔοικας τὸν ὀρχηστοδιδάσκαλον.

ιϛ'. Ναὶ μὰ τὸν Δί', ἔφη ὁ Σωκράτης. καὶ γὰρ ἄλλό τι προσενόησα, ὅτι οὐδὲν ἀργὸν τοῦ σώματος ἐν τῇ

ὀρχήσει

ſub doctrinam cadat: quando hæc tametſi mulier ſit, tam audacter in adverſos gladios pergit.

13. Ad hæc Antiſthenes: Ergo fuerit huic Syracuſano, ait, optimum, ut ſaltatrice ſua civitati oſtenſa dicat ſe, ſi pecuniam ei largiantur Athenienſes, effecturum, ut audeant omnes Athenienſes in haſtas adverſas pergere?

14. Tum Philippus: Profecto, inquit, lubenter equidem Piſandrum concionatorem ſpectare velim diſcentem hanc rationem provoluendi ſe inter gladios in caput: qui nunc propterea, quod haſtas adverſas intueri nequeat, ne quidem cum aliis militatum ire vult.

15. Deinde puer ſaltabat. Ac Socrates: Videtis, inquit, quam elegans hic puer ſit, verum ſi geſtus adhibeat, etiam elegantior videatur, quam ſi quieſcat. Tum Charmides: Videris, ait, mihi magiſtrū ſaltationis hujus laudare velle.

16. Sic eſt profecto, inquit Socrates. Nam præterea quiddam aliud animadverti, quod videlicet in ipſa ſaltatione nulla pars corporis

otioſa

ὀρχεῖσθαι ἦν, ἀλλ' ἅμα καὶ τράχηλος καὶ σκέλη καὶ χεῖρες ἐγυμνάζοντο, ὥσπερ χρὴ ὀρχεῖσθαι τὸν μέλλοντα εὐφορώτερον τὸ σῶμα ἕξειν. καὶ ἐγὼ μὲν, ἔφη, πάνυ ἂν ἡδέως, ὦ Συρακόσιε, μάθοιμι τὰ σχήματα παρὰ σοῦ. καὶ ὅς· τί οὖν χρήσῃ αὐτοῖς; ἔφη. ὀρχήσομαι, νὴ Δία.

ιζ'. Ἐνταῦθα δὴ ἐγέλασαν ἅπαντες. καὶ ὁ Σωκράτης μάλα ἐσπουδακότι τῷ προσώπῳ· γελᾶτε, ἔφη, ἐπ' ἐμοί; πότερον ἐπὶ τούτῳ, εἰ βούλομαι γυμναζόμενος μᾶλλον ὑγιαίνειν, ἢ εἰ ἥδιον ἐσθίειν καὶ καθεύδειν, ἢ εἰ τοιούτων γυμνασίων ἐπιθυμῶ, μὴ ὥσπερ οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν παχύνονται, τοὺς δὲ ὤμους λεπτύνονται, μηδ' ὥσπερ οἱ πύκται τοὺς μὲν ὤμους παχύνονται, τὰ δὲ σκέλη λεπτύνονται, ἀλλὰ παντὶ διαπονῶν τῷ σώματι, πᾶν ἰσόρροπον ποιεῖν;

ιη'. Ἢ ἐπ' ἐκείνῳ γελᾶτε, ὅτι οὐ δεήσει με συγγυμναστὴν ζητεῖν, οὐδ' ἐν ὄχλῳ, πρεσβύτην ὄντα, ἀποδύεσθαι, ἀλλ'

otioſa eſſet: ſed ſimul & collum, & crura, & manus exercerentur, quemadmodum ſaltare convenit eum qui corpus agilius habere velit. Ac equidem, ait, perlubenter, mi Syracuſane, geſtus hos abs te diſcerem. Et ille: Cuinam, ait, uſui tibi fuerint illi? Saltabo ſcilicet.

17. Tum vero ſublatus ab omnibus riſus. Et Socrates vultu maxime ad ſeriam quamdam ſpeciem compoſito: Meane cauſſa ridetis? inquit. Num id propterea, quod exercendo me rectius valere cupio, vel quod majori cum voluptate cibis veſci ac dormire velim; vel quod hæc exercitia deſidero, ut mihi non, quemadmodum in ſtadio currentibus, crura compactiora fiant, humeri tenuiores; nec pugilum inſtar humeri craſſeſcant, crura adtenuentur: ſed toto corpore laborando, univerſum etiam eodem ut robore polleat, efficiam?

18. An ideo ridetis, quod minime fuerit neceſſarium, ut quæram exercitationis ſocium, neque ut in turba me ſenex exuam: ſed

ἀλλ' ἀρέσκει μοι οἶκος ἑπτάκλινος, ὥσπερ καὶ νῦν τῷδε τῷ παιδὶ ἤρκεσε τόδε τὸ οἴκημα ἐνιδρῶσαι. καὶ χειμῶνος μὲν ἐν στέγῃ γυμνάσομαι, ὅταν δὲ ἄγαν καῦμα ᾖ, ἐν σκιᾷ.

ιθ'. Ἢ τόδε γελᾶτε, εἰ μείζω τοῦ καιροῦ τὴν γαστέρα ἔχων, μετριωτέραν βούλομαι ποιῆσαι αὐτήν; ἢ οὐκ ἴστε, ὅτι ἔναγχος ἕωθεν Χαρμίδης οὑτοσὶ κατέλαβέ με ὀρχούμενον; Ναὶ μὰ τὸν Δί', ἔφη ὁ Χαρμίδης· καὶ τὸ μέν γε πρῶτον ἐξεπλάγην, καὶ ἔδεισα μὴ μαίνοιο. ἐπεὶ δέ σου ἤκουσα ὅμοια οἷς νῦν λέγεις, καὶ αὐτὸς ἐλθὼν οἴκαδε ὠρχούμην μὲν οὔ, (οὐ γὰρ πώποτε τοῦτ' ἔμαθον) ἐχειρονόμουν δέ. ταῦτα γὰρ ἠπιστάμην.

κ'. Νὴ Δί', ἔφη ὁ Φίλιππος. καὶ γὰρ οὖν οὕτω τὰ σκέλη τοῖς ὤμοις φαίνῃ ἰσοφόρα ἔχειν, ὥστε δοκεῖς ἐμοί, κἂν εἰ τοῖς ἀγορανόμοις ἀφιστῴης (ὥσπερ ἄρτους) τὰ κάτω πρὸς τὰ ἄνω, ἀζήμιος ἂν γενέσθαι.

κα'. Καὶ

ſed ſuffectura mihi ſit domus ſeptem lectulorum capax, quemadmodum huic etiam puero ſatis hoc conclave fuit, in quo ſudaret? Tum quod per hyemem ſub tecto me ſim exerciturus, viciſſim ubi magnus æſtus fuerit, in umbra.

19. An id potius ridetis, quod quum ampliorem, quam par ſit, ventrem habeam, reddere hunc aliquanto minorem velim? An neſcitis, Charmidem hunc nuper admodum me ſaltantem mane deprehendiſſe? Profecto ſic eſt, ait Charmides. Et initio quidem obſtupui, ac ne inſanires, veritus ſum. Verum ubi te audivi conſimilia dicere iis quæ nunc dicis; etiam ipſe domum ubi veniſſem, non ſaltabam quidem, (quando id nunquam didici) ſed manibus geſticulabar, quod facere noram.

20. Eſt ita profecto, inquit Philippus. Nam crura videris tam æqualis habere cum humeris ponderis, ut ſi apud annonæ præfectos inferiorum pondus examinares ad ſuperiora, (ſicut in panibus fieri ſolet) non multatus evaderes.

21. Tum

κα'. Καὶ ὁ Καλλίας εἶπεν· ὦ Σώκρατες, ἐμὲ μὲν παρακάλει, ὅταν μέλλῃς μανθάνειν ὀρχεῖσθαι, ἵνα σοι ἀντιστοιχῶ τε καὶ συμμανθάνω. ἄγε δὴ, ἔφη ὁ Φίλιππος, καὶ ἐμοὶ αὐλησάτω, ἵνα καὶ ἐγὼ ὀρχήσωμαι. ἐπεὶ δ' ἀνέστη, διῆλθε μιμούμενος τήν τε τοῦ παιδὸς καὶ τὴν τῆς παιδὸς ὄρχησιν.

κβ'. Καὶ πρῶτον μὲν, ὅτι ἐπήνεσαν, ὡς ὁ παῖς σὺν τοῖς σχήμασιν ἔτι καλλίων ἐφαίνετο, ἀνταπέδειξεν ὅ,τι κινοίη τοῦ σώματος, ἅπαν τῆς φύσεως γελοιότερον. ὅτι δὲ ἡ παῖς εἰς τοὔπισθεν καμπτομένη τροχοὺς ἐμιμεῖτο, ἐκεῖνος ταῦτα εἰς τὸ ἔμπροσθεν ἐπικύπτων, μιμεῖσθαι τροχοὺς ἐπειρᾶτο. τέλος δὲ, ὅτι τὸν παῖδ' ἐπήνουν, ὡς ἐν τῇ ὀρχήσει ἅπαν τὸ σῶμα γυμνάζοι, κελεύσας τὴν αὐλητρίδα θάττονα ῥυθμὸν ἐπάγειν, ἵει ἅμα πάντα, καὶ σκέλη, καὶ χεῖρας, καὶ κεφαλήν.

κγ'. Ἐπειδὴ δὲ ἀπειρήκει, κατακλινόμενος εἶπε· τεκμήριον, ὦ ἄνδρες, ὅτι καλῶς γυμνάζει καὶ τὰ ἐμὰ ὀρχήματα.

ἔγωγ'

21. Tum Callias: Me vero arceſſe, ait, mi Socrates, quum ſaltandi rationem voles diſcere, ut tibi me opponam, & una diſcam. Age vero, inquit Philippus, etiam mihi tibiam inflet, ut & ipſe ſaltem. Quumque ſurrexiſſet, hinc inde incedebat ac pueri puellæque ſaltationem imitabatur.

22. Primum vero, quod prædicaſſent puerum, qui ex geſtibus etiam pulchrior exſtitiſſet: ipſe contra, quamcumque corporis partem moviſſet, corpus totum magis, quam eſſet reapſe, ridiculum effecit. Quod autem puella flexo retro corpore rotas imitaretur, ipſe antrorſum ſe flectens rotas imitari conabatur. Tamdem quia puerum laudabant, qui inter ſaltandum corpus univerſum exerceret: juſſa fidicina celeriorem aliquem numerum proferre, crura, manus, caput, omnia ſimul jactabat.

23. Poſteaquam defatigatus eſſet: Hoc argumento eſt, inquit in lectulum procumbens, ô viri, etiam meas ſaltationes egregie corpus exercere, quod ſitiam.

ἔχων· οὕτω διψῶ, καὶ ὁ παῖς ἐγχεάτω μοι τὴν μεγάλην φιάλην. νὴ Δί', ἔφη ὁ Καλλίας, καὶ ἡμῖν γε, ἐπεὶ καὶ ἡμεῖς διψῶμεν ἐπὶ σοὶ γελῶντες.

κδ'. Ὁ δ' αὖ Σωκράτης εἶπεν· Ἀλλὰ πίνειν μὲν, ὦ ἄνδρες, καὶ ἐμοὶ πάνυ δοκεῖ. τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς, τὰς μὲν λύπας (ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους) κοιμίζει, τὰς δὲ φιλοφροσύνας (ὥσπερ ἔλαιον φλόγα) ἐγείρει.

κε' Δοκεῖ μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν σώματα ταὐτὰ πάσχειν, ἅπερ καὶ τὰ τῶν ἐν γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα, ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν ἀθρόως ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι. ὅταν δ' ὅσῳ ἥδεται τοσοῦτο πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται, καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρποφορίαν.

κϛ'. Οὕτω δὲ καὶ ἡμεῖς, ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται, καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα. ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν, ἵνα καὶ ἐγὼ ἐν Γορ-

ſitiam. Infundat mihi puer magnam illam pateram. Et nobis quoque, ſubjecit Callias. Quippe nos etiam ſitimus, dùm te ridemus.

24. At Socrates: Enimvero, ait, ô viri, etiam mihi vel maxime videtur eſſe bibendum. Nam revera vinum, dum animos rigat, mœrores quidem (perinde ac mandragoras homines) ſopit: & hilaritates (perinde ac oleum flammam) excitat.

25. Videtur autem mihi hominum quoque corporibus idem accidere, quod terra naſcentibus. Nam quum hæc à Deo rigantur imbre nimio, non poſſunt erigi, nec ab auris perflari. At ubi tantum hauriunt, quantum eis gratum eſt: admodum erecta incrementum ſumunt, florent, ad frugem perveniunt.

26. Ita nos quoque, ſi potum immodicum infundamus, mox & corpora nobis, & animi vacillabunt; ac ne quidem reſpirare, nedum proferre quidquam poterimus. At ſi pueri minutis poculis crebro nos quaſi rore quodam adſperſerint, ut & ipſis verbis

Γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν, ἀλλ᾽ ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.

κζ΄. Ἔδοξε μὲν δὴ ταῦτα πᾶσι. προσέθηκε δὲ ὁ Φίλιππος, ὡς χρὴ τοὺς οἰνοχόους μιμεῖσθαι τοὺς ἀγαθοὺς ἁρματηλάτας, θᾶττον περιελαύνοντας τὰς κύλικας. οἱ μὲν δὴ οἰνοχόοι οὕτως ἐποίουν.

ΚΕΦ. γ΄.

Ἐκ δὲ τούτου συνηρμοσμένῃ τῇ λύρᾳ πρὸς τὸν αὐλὸν ἐκιθάρισεν ὁ παῖς, καὶ ᾖσεν. ἔνθα δὴ ἐπῄνεσαν μὲν ἅπαντες, ὁ δὲ Χαρμίδης καὶ εἶπεν· ἀλλ᾽ ἐμοὶ μὲν δοκεῖ, ὦ ἄνδρες, ὥσπερ Σωκράτης ἔφη τὸν οἶνον, οὕτω καὶ αὕτη ἡ κρᾶσις τῶν τε παίδων τῆς ὥρας καὶ τῶν φθόγγων τὰς μὲν λύπας κοιμίζειν, τὴν δ᾽ ἀφροδίτην ἐγείρειν.

β΄. Ἐκ τούτου δὲ πάλιν εἶπεν ὁ Σωκράτης· οὗτοι μὲν δή, ὦ ἄνδρες, ἱκανοὶ τέρπειν ἡμᾶς φαίνονται· ἡμεῖς δὲ τούτων οἶδ᾽ ὅτι πολὺ βελτίονες οἰόμεθα εἶναι. οὐκ αἰσχρὸν οὖν, εἰ μηδ᾽ ἐπιχειρήσομεν συνόντες ὠφελεῖν τι, ἢ εὐφραίνειν ἀλλήλους;

ἐντεῦ-

verbis Gorgianis utar, tum ſcilicet non coacti à vino temulenti ſiemus, ſed perſuaſi ad ludicra deſcendemus.

26. Atque hæc tunc omnibus ita placuerunt. Philippus autem adjecit: debere pocillatores imitari ſtrenuos aurigas in eo, ut pocula celeriuſcule circumagerent: quod quidem à pocillatoribus eſt factũ.

CAP. III.

Secundum hæc lyra ad tibiam accommodata, puer & cithara utebatur, & canebat. Quod quum laudaſſent univerſi, Charmides ait: Mihi vero videtur, ô viri, quemadmodum de vino dixit Socrates, ita puerilis hæc venuſtas commiſta ſonis illis mœrores ſopire, ac venerem excitare.

2. Tum Socrates rurſum: Videntur hi quidem, ait, ô viri, ſatis delectare nos poſſe: verum ſat ſcio nos exiſtimare, quod illis multo ſimus meliores. An non igitur eſt turpe, nos, quum una ſimus, non eniti, ut nonnihil invicem & commodi nobis, & hilaritatis adferamus?

ἐντεῦθεν εἶπον πολλοί· σὺ τοίνυν ἡμῖν ἐξηγοῦ, ποίων λόγων ἁπτόμενοι μάλιστ' ἂν ταῦτα ποιοῖμεν.

γʹ. Ἐγὼ τοίνυν (ἔφη) ἥδιστ' ἂν ἀπολαύοιμι παρὰ Καλλίου τὴν ὑπόσχεσιν. ἔφη γὰρ δήπου εἰ συνδειπνοῖμεν, ἐπιδείξειν τὴν αὑτοῦ σοφίαν. καὶ ἐπιδείξω γε (ἔφη) ἐὰν καὶ ὑμεῖς ἅπαντες εἰς μέσον φέρητε ὅ,τι ἕκαστος ἐπίστασθε ἀγαθόν. Ἀλλ' οὐδείς σοι (ἔφη) ἀντιλέγει τὸ μὴ οὐ λέξειν ὅ,τι ἕκαστος ἡγεῖται πλείστου ἄξιον ἐπίστασθαι.

δʹ. Ἐγὼ μὲν τοίνυν (ἔφη) λέγω ὑμῖν, ἐφ' ᾧ μέγιστον φρονῶ. ἀνθρώπους γὰρ οἶμαι ἱκανὸς εἶναι βελτίους ποιεῖν. καὶ ὁ Ἀντισθένης εἶπε, πότερον τέχνην τινὰ βαναυσικὴν, ἢ καλοκἀγαθίαν διδάσκων; ἡ καλοκἀγαθία ἐστὶν ἡ δικαιοσύνη. νὴ Δί', ἔφη ὁ Ἀντισθένης, ἥγε ἀναμφιλογωτάτη. ἐπεί τοι ἀνδρεία μὲν καὶ σοφία ἔστιν ὅτε βλαβερὰ καὶ φίλοις καὶ πόλει δοκεῖ εἶναι. ἡ δὲ δικαιοσύνη οὐδὲ καθ' ἓν συμμίγνυται τῇ ἀδικίᾳ.

εʹ. Ἐπεί-

mus? Tum vero complures: Ergo tu nobis exponito, inquiunt, quos attingere ſermones oporteat, ut id maxime conſequamur.

3. Equidem ait, lubentiſſime frui Calliæ promiſſo velim. Dicebat enim, ſi cum ipſo cœnaremus, oſtentaturum ſe nobis ſapientiam ſuam. Oſtendam equidem, ait, ſi quidem vos quoque univerſi, quidquid boni noſtis ſinguli, in medium contuleritis. At nemo eſt, qui adverſetur, ait, quominus indicaturus ſit, quidnam quiſque maximi faciundum ſcire ſe arbitretur.

4. Ego igitur vobis dico, quo me potiſſimum efferam. Nam arbitror poſſe me homines meliores efficere. Tum Antiſthenes, Utrum inquit, artem aliquam ſordidam docendo, an honeſtatem? Juſtitia eſt honeſtas. Eſt profecto, inquit Antiſthenes, & quidem ea, de qua minime dubitari debeat. Nam fortitudo & ſapientia nonnumquam & amicis & reipublicæ videntur eſſe noxiæ: verum juſticia ne parte quidem minima cum injuſtitia miſcetur.

5. Poſtea-

ε'. Επειδὰν τοίνυν καὶ ἡμῶν ἕκαστος εἴπῃ ὅ,τι ὠφέλιμον ἔχῃ, τότε κἀγὼ οὐ φθονήσω εἰπεῖν τὴν τέχνην, δι' ἧς τοῦτο ἀπεργάζομαι· ἀλλὰ σὺ αὖ (ἔφη) λέγε, ὦ Νικήρατε, ἐπὶ ποίᾳ ἐπιστήμῃ μέγα φρονεῖς. καὶ ὃς εἶπεν· ὁ πατὴρ ὁ ἐπιμελούμενος, ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ομήρου ἔπη μαθεῖν. καὶ νῦν δυναίμην ἂν Ιλιάδα ὅλην καὶ Οδύσσειαν ἀπὸ στόματος εἰπεῖν.

ϛ'. Εκεῖνο δ', ἔφη ὁ Αντισθένης, λέληθέ σε ὅτι καὶ οἱ ῥαψῳδοὶ πάντες ἐπίστανται ταῦτα τὰ ἔπη; καὶ πῶς ἄν, ἔφη, λελήθοι ἀκροώμενόν γε αὐτῶν ὀλίγου ἀν' ἑκάστην ἡμέραν; οἶσθά τι οὖν ἔθνος, ἔφη, ἠλιθιώτερον ῥαψῳδῶν; οὐ μὰ τὸν Δί', ἔφη ὁ Νικήρατος, οὔκουν ἔμοιγε δοκεῖ. δῆλον γὰρ, ἔφη ὁ Σωκράτης, ὅτι τὰς ὑπονοίας οὐκ ἐπίστανται. σὺ δὲ Στησιμβρότῳ τε καὶ Αναξιμάνδρῳ, καὶ ἄλλοις πολλοῖς. πολὺ δέδωκας ἀργύριον, ὥστε οὐδέν σε τῶν πολλοῦ ἀξίων λέληθε.

ζ'. Τὶ

5. Poſteaquam igitur unuſquiſque noſtrum dixerit, quid habeat rei utilis, tum & ego dicere non gravabor, quanam illud arte efficiam. Tu vero, Nicerate, dicito nobis, cujus ſcientiæ cauſſa elato ſis animo. Pater meus, ait Niceratus, quum ſtudioſe daret operam, ut in virum honeſtum ac bonum evaderem, coegit omnes Homeri me verſus diſcere. Jamque adeo poſſem totam Iliadem & Ulyſſeam de memoria promptam recitare.

6. Verum ignoras, inquit Antiſthenes, etiam omnes verſuum recitatores eoſdem verſus tenere? Qui poſſim ignorare, ait, quum propemodum ſingulis eos diebus audiam? An igitur ullam rationem hominum ſtultiorem noſti, quam ſint illi recitatores? Non profecto, inquit Niceratus, non ita mihi videtur. Perſpicuum eſt enim, ait Socrates, illos verſuum ſententias non intelligere. Tu autem Steſimbroto, & Anaximandro, & multis aliis non parum pecuniæ dediſti: quo fit ut nihil eorũ quæ magni ſunt facienda, ignores.

ζ'. Τί γὰρ σὺ, ἔφη, ὦ Κριτόβουλε, ἐπὶ τίνι μέγιστον φρονεῖς; ἐπὶ κάλλει, ἔφη. ἦ οὖν καὶ σὺ, ὁ Σωκράτης ἔφη, ἕξεις λέγειν, ὅτι τῷ σῷ κάλλει ἱκανὸς εἶ βελτίους ἡμᾶς ποιεῖν; εἰ δὲ μὴ, δῆλόν γε, ὅτι φαῦλος φανοῦμαι.

η'. Τί γὰρ σὺ, εἶπεν, ἐπὶ τίνι μέγα φρονεῖς, ὦ Αντίσθενες; ἐπὶ πλούτῳ, ἔφη. ὁ δὲ Ερμογένης ἀνήρετο, εἰ πολὺ εἴη αὐτῷ ἀργύριον. ὁ δὲ ἀπώμοσε μηδὲ ὀβολόν. ἀλλὰ γῆν πολλὴν, ἔφη, κέκτησαι; ἴσως ἂν, ἔφη, Αὐτολύκῳ τούτῳ ἱκανὴ γένοιτο ἐγκονίσασθαι.

θ'. Ακουστέον ἂν εἴη καὶ σοῦ. τί γὰρ σὺ, ἔφη, ὦ Χαρμίδη, ἐπὶ τίνι μέγα φρονεῖς; ἐγὼ αὖ, ἔφη, ἐπὶ πενίᾳ μέγα φρονῶ. νὴ Δί', ἔφη ὁ Σωκράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. τοῦτο γὰρ δὴ ἥκιστα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον, καὶ ἀφύλακτον ὂν σώζεται, καὶ ἀμελούμενον ἰσχυρότερον γίγνεται.

ί. Σὺ

7. Quid tu vero Critobule, inquit, habes rei, quo te plurimum effers? Ob formæ elegantiam, ait. Num igitur & tu, inquit Socrates, dicere poteris te pulchritudine tua poſſe nos meliores reddere? Ni poſſim id, perſpicuum eſt, me nullius hominem pretii viſum iri.

8. Quid tu autem Antiſthenes? ait, quam ob rem te effers? Ob divitias, inquit. Quem rurſus Hermogenes interrogabat, an multum haberet argenti. At is cum jurejurando, ne obolum quidem, ait. Sed multum agri poſſides? inquit. Fortaſſe tantum, reſpondit, quantum huic Autolyco ſatis ſit, de quo ſe pulvere conſpergat.

9. Sed & tu audiendus es. Quanam re Charmides, temet effers? Equidem me, inquit, ob paupertatem effero. Profecto, ait Socrates, jucundam quidem ac gratam ob rem: quæ minime obnoxia eſt invidiæ, minime pugnas de ſe concitat, ſine cuſtodia ſervari poteſt, neglecta denique vires adquirit.

10. At

ι'. Σὺ δὲ δὴ, ἔφη ὁ Καλλίας, ἐπὶ τίνι μέγα φρονεῖς, ὦ Σώκρατες; καὶ ὃς, μάλα σεμνῶς ἀνασπάσας τὸ πρόσωπον· ἐπὶ μαστροπείᾳ, εἶπεν. ἐπεὶ δὲ ἐγέλασαν ἐπ' αὐτὸν, ὑμεῖς μὲν γελᾶτε, ἔφη· ἐγὼ δὲ οἶδ' ὅτι καὶ πάνυ ἂν πολλὰ χρήματα λαμβάνοιμι, εἰ βουλοίμην χρῆσθαι τῇ τέχνῃ.

ια'. Σύ γε μὴν, δηλῶν ἔφη ὁ Λύκων τὸν Φίλιππον, ἐπὶ τῷ γελωτοποιεῖν μέγα φρονεῖς; δικαιότερόν γ', ἔφη, οἴομαι ἢ Καλιππίδης ὁ ὑποκριτὴς, ὃς ὑπερσεμνύνεται ὅτι δύναται πολλοὺς κλαίοντας καθίζειν.

ιβ'. Οὐκοῦν καὶ σὺ (ἔφη ὁ Ἀντισθένης) λέξεις, ὦ Λύκων, ἐπὶ τίνι μέγα φρονεῖς; καὶ ὃς ἔφη· οὐ γὰρ ἅπαντες ἴστε, ἔφη, ὅτι ἐπὶ τούτῳ τῷ υἱῷ; οὗτός γε μὴν, ἔφη τις, δῆλον ὅτι ἐπὶ τῷ νικηφόρος εἶναι. καὶ ὁ Αὐτόλυκος ἀνερυθριάσας εἶπε, μὰ Δί' οὐκ ἔγωγε.

ιγ'. Ἐπεὶ δὲ ἅπαντες ἡσθέντες ὅτι ἤκουσαν αὐτοῦ φωνήσαντος, προσέβλεψαν, ἤρετό τις αὐτὸν, ἀλλ' ἐπὶ τῷ

10. At tu Socrates, inquit Callias, qua re fretus de te magnifice ſentis? Ille vultu maximam ad gravitatem compoſito: Lenocinio, reſpondit. Quumque riſiſſent omnes: Vos quidem ridete, inquit, at ego ſcio me magnam accipere poſſe pecuniæ copiam, ſi hac arte velim uti.

11. Et Lyco Philippum indicans: Tu quidem, ait, idcirco te effers, quod riſum excitare potes? Juſtius, inquit, mea quidem ſententia, quam Callippides hiſtrio, qui mirifice propterea ſuperbit, quod multis lacrumas excutere poſſit.

12. An non tu quoque, mi Lyco, ſubjecit Antiſtenes, indicabis, quam ob cauſſam elato ſis animo? An non vobis omnibus notum eſt, ait, ob filium hunc meum? Atque is ipſe, ſubjecit aliquis, haud dubie propterea, quod victoriam ſit adeptus. Et Autolycus quum erubuiſſet: Minime profecto, inquit.

13. Ibi conjectis in eum oculis omnium, qui quidem delectati eſſent, quod loquentem audiviſſent, quidam ipſum interrogat: Ob quid igitur,

τῷ φρονεῖς, ὦ Αὐτόλυκε; ὁ δ' εἶπεν, ἐπὶ τῷ πατρί. καὶ ἅμα ἐνεκλίθη αὐτῷ. καὶ ὁ Καλλίας ἰδὼν, ἆρ' οἶσθα, ἔφη, ὦ Λύκων, ὅτι πλουσιώτατος εἶ ἀνθρώπων; μὰ Δί' (ἔφη) τοῦτο μέντοι ἐγὼ οὐκ οἶδα. ἀλλὰ λανθάνει σε, ὅτι οὐκ ἂν δέξαιο τὰ βασιλέως χρήματα ἀντὶ τοῦ υἱοῦ; ἐπ' αὐτοφώρῳ εἴλημμαι, ἔφη, πλουσιώτατος (ὡς ἔοικεν) ἀνθρώπων ὤν.

ιδ'. Σὺ δὲ (ἔφη ὁ Νικήρατος) ὦ Ἑρμόγενες, ἐπὶ τίνι μάλιστα ἀγάλλῃ; καὶ ὃς, ἐπὶ φίλων, ἔφη, ἀρετῇ καὶ δυνάμει, καὶ ὅτι τοιοῦτοι ὄντες ἐμοῦ ἐπιμέλονται. ἐνταῦθα τοίνυν πάντες προσέβλεψαν αὐτῷ, καὶ πολλοὶ ἅμα ἤροντο, εἰ καὶ σφίσι δηλώσει αὐτούς. ὁ δὲ εἶπεν, ὅτι οὐ φθονήσει.

ΚΕΦ. δ'.

ΕΚ τούτου ἔλεξεν ὁ Σωκράτης· οὐκοῦν λοιπὸν ἂν εἴη ἡμῖν, ἃ ἕκαστος ὑπέσχετο, ἀποδεικνύναι, ὡς πολλοῦ ἄξιά ἐστιν. ἀκούοιτ'

igitur, Autolyce? Ob Patrem, inquit: ſimulque ad patrem ſeſe acclinabat. Quod ubi conſpexiſſet Callias: Scis, inquit, mi Lyco, te omnium hominum eſſe opulentiſſimum? Id ego profecto, ait, ignoro. An igitur fugit te, quod ne regis quidem opes cum filio commutares? Ipſo in facinore deprehenſus ſum, inquit, omnium (uti quidem videtur) hominum opulentiſſimus.

14. Tu vero Hermogenes, ait Niceratus, qua te potiſſimum tibi places? Ob amicorum, inquit, virtutem & potentiam, & quod tales quum ſint, mei curam habeant. Tum omnes eum intueri, ac plerique interrogare, num & ipſis eos indicare vellet. Reſpondebat autem, non velle ſe hoc ipſis invidere.

CAP. IV.

SEcundum hæc Socrates: Reſtat igitur, ait, ut demonſtret quilibet, ea quæ pollicitus eſt, maximi eſſe faciunda. Audieἀκούοιτ' ἄν, ἔφη ὁ Καλλίας, ἐμοῦ πρῶτον. ἐγὼ γὰρ ἐν τῷ χρόνῳ, ᾧ ὑμῶν ἀκούω ἀπορούντων, τί τὸ δίκαιον, ἐν τούτῳ δικαιοτέρους τοὺς ἀνθρώπους ποιῶ. καὶ ὁ Σωκράτης· πῶς, ὦ λῷστε; ἔφη. διδοὺς νὴ Δί' ἀργύριον.

β'. Καὶ ὁ Ἀντισθένης ἐπαναστὰς μάλα ἐλεγκτικῶς αὐτὸν ἐπήρετο· Οἱ δὲ ἄνθρωποι, ὦ Καλλία, πότερον ἐν ταῖς ψυχαῖς, ἢ ἐν τῷ βαλαντίῳ τὸ δίκαιόν σοι δοκοῦσιν ἔχειν; ἐν ταῖς ψυχαῖς, ἔφη. κἄπειτα σὺ εἰς τὸ βαλάντιον διδοὺς ἀργύριον, τὰς ψυχὰς δικαιοτέρας ποιεῖς; μάλιστα. πῶς; ὅτι διὰ τὸ εἰδέναι, ὡς ἔστιν ὅτου πριάμενοι τὰ ἐπιτήδεια ἕξουσιν, οὐκ ἐθέλουσι κακουργοῦντες κινδυνεύειν.

γ'. Ἦ καί σοι, ἔφη, ἀποδιδόασιν ὅ,τι ἂν λάβωσι; μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή. τί δὲ ἀντὶ τοῦ ἀργυρίου, χάριτας; οὐ μὰ τὸν Δί', ἔφη, οὐδὲ τοῦτο· ἀλλ' ἔνιοι καὶ ἐχθιόνως ἔχουσιν, ἢ πρὶν λαβεῖν. θαυμαστά γ', (ἔφη ὁ Ἀντισθένης ἅμα εἰσβλέπων, ὡς ἐλέγχων αὐτόν) εἰ πρὸς μὲν τοὺς ἄλλους

δύνασαι

Audietis, ait Callias, me primum. Nam interea, dum vos audio, quid jus & æquum ſit, ambigentes; homines efficio juſtiores. Qui hoc, vir optime? ait Socrates. Dum pecuniam largior.

2. Et ſurgens Antiſthenes, admodum acriter eum confutaturus interrogabat: Homines vero, Callia, utrum tibi videntur, in animis an in crumena juſtitiam habere? In animis, inquit. Et tu quum in crumenam argentum largiris, animos juſtiores facis? Maxime. Quo pacto? Quod quum ſciant habere ſe, unde neceſſaria parare ſibi emendo poſſint, malefacere ſuo cum periculo nolint.

3. Num tibi reddunt, quod acceperunt? Non profecto. Quid autem pro pecunia? Num gratias? Ne id quidem certe, inquit. Immo nonnulli etiam magis hoſtiliter adfecti ſunt, quam prius, quum nil accepiſſent. Mira quidem (ait Antiſthenes ſimul eum intuendo quaſi coarguens) poſſe te illos reddere

juſtos

δύνασθαι δικαίους ποιεῖν αὐτοὺς, περὶ δὲ σαυτὸν οὔ.

δ'. Καὶ τί τοῦτ', ἔφη ὁ Καλλίας, θαυμαστόν; οὐ καὶ τέκτονάς τε καὶ οἰκοδόμους πολλοὺς ὁρᾷς, οἳ ἄλλοις μὲν πολλοῖς ποιοῦσιν οἰκίας, ἑαυτοῖς δὲ οὐ δύνανται ποιῆσαι, * ἀλλ' ἐν μισθῷ αὐταῖς οἰκοῦσι; καὶ ἀνάσχου μέντοι, ὦ σοφιστά, ἐλεγχόμενος.

ε'. Νὴ Δί', ἔφη ὁ Σωκράτης, ἀνεχέσθω μέντοι. ἐπεὶ καὶ οἱ μάντεις λέγονται δήπου ἄλλοις μὲν προαγορεύειν τὸ μέλλον, ἑαυτοῖς δὲ μὴ προορᾷν τὸ ἐπιόν. οὗτος μὲν δὴ ὁ λόγος ἐνταῦθα ἔληξεν.

ϛ'. Εκ τούτου δὲ ὁ Νικήρατος, ἀκούοιτ' ἂν, ἔφη, καὶ ἐμοῦ, ἃ ἔσεσθε βελτίονες, ἢν ἐμοὶ συνῆτε. ἴστε γὰρ δήπου, ὅτι ὁ Ομηρος ὁ σοφώτατος πεποίηκε σχεδὸν περὶ πάντων τῶν ἀνθρωπίνων. ὅστις ἂν οὖν ὑμῶν βούληται ἢ οἰκονομικὸς, ἢ δημηγορικὸς, ἢ στρατηγικὸς γενέσθαι, ἢ ὅμοιος Αχιλλεῖ, ἢ Αἴαντι, ἢ Νέστορι, ἢ Οδυσσεῖ, ἐμὲ θεραπευέτω. ἐγὼ γὰρ ταῦτα πάντα ἐπίσταμαι.

ἢ

juſtos erga cæteros, non autem erga teipſum.

4. Et cur hoc mirum eſt? ait Callias. An non & fabros, & ſtructores ædium, complures cernis, qui aliis quidem multis domos ædificant, ſibi ædificare non poſſunt, ſed mercede conductas incolunt? Sine te coargui, profeſſor ſapientiæ.

5. Profecto, inquit Socrates, patiatur ſane. Nam & vates feruntur certe aliis quidem futurum quod ſit, denuntiare: ſibi vero quod immineat, non proſpicere. Atque hic ejus ſermonis finis fuit.

6. Secundum hæc Niceratus: Audite, inquit, me quoque, de iis quæ vos meliores effectura ſunt, ſi mecum verſabimini. Noſtis enim certe, Homerum illum ſapientiſſimum fere complexum eſſe poematis ſuis omnes res humanas. Quamobrem quiſquis veſtrum vel adminiſtrationis domeſticæ, vel orandi ad populum, vel rei imperatoriæ peritus fieri vult, vel Achilli, Aiaci, Neſtori, Ulyſſi ſimilis; me colat, qui hæc omnia cognita habeo.

Num

ἢ καὶ βασιλεύειν (ἔφη ὁ Αντισθένης) ἐπίστασαι; ὅτι οἶσθα ἐπαινέσαντα αὐτὸν τὸν Αγαμέμνονα, ὡς βασιλεύς τε εἴη ἀγαθὸς, κρατερός τ' αἰχμητής. καὶ ναὶ μὰ Δί' (ἔφη) ἔγωγε, ὅτι ἁρματηλατοῦντα δεῖ ἐγγὺς μὲν τῆς στήλης κάμψαι.

* Αὐτὸν δὲ κλινθῆναι ἐϋξέστου ἐπὶ δίφρου
Ηκ' ἐπ' ἀριστερὰ τοῖιν, αὐτὰρ [illegible] δεξιὸν ἵππον
Κένσαι ὁμοκλήσαντ', εἶξαί τέ οἱ ἡνία χερσί.

ζ'. Καὶ πρὸς τούτοις γε ἄλλο οἶδα, καὶ ὑμῖν αὐτίκα μὰ Δί' ἔξεστι πειρᾶσθαι. εἶπε γάρ που Ομηρος, *Επὶ δὲ κρόμυον ποτῷ ὄψον. ἐὰν οὖν ἐνέγκῃ τις κρόμυον, αὐτίκα μάλα τοῦτό γε ὠφελημένοι ἔσεσθε. ἥδιον γὰρ πίεσθε.

η'. Καὶ ὁ Χαρμίδης εἶπεν· ὦ ἄνδρες, ὁ Νικήρατος κρομύων ὄζων ἐπιθυμεῖ οἴκαδε ἐλθεῖν, ἵν' ἡ γυνὴ αὐτοῦ πιστεύῃ, μὴ διανοηθῆναι μηδένα ἂν φιλῆσαι αὐτόν. νὴ Δί', ἔφη ὁ Σωκράτης, ἀλλ' ἄλλην που δόξαν

Num & regnandi, ait Antiſthenes, ſcientiam habes? Noſti enim laudatum eſſe ab ipſo Agamemnonem, quod rex eſſet bonus, & bellator fortis. Etiam hoc profecto ſcio, inquit, quod prope columnam quidem auriga convertere ſe debeat:

Ille ſed inclinet ſe lævam verſus, in ipſo
Curru: & equum dextrum propellat voce, manuque
Cedat, eique ſimul laxas permittat habenas.

7. Præterea quiddam aliud novi, voſque adeo periculum ejus mox facere poteritis. Dixit enim Homerus, cepam eſſe potus condimentum. Quamobrem ſi cepam quis adferat, mox hanc utilitatem percipietis, quod eſtis majori cum voluptate bibituri.

8. Tum Charmides: Cupit, inquit, ô viri, Niceratus ita redire domum, quo cepas redoleat; ut uxor ipſius credat, nullum ne cogitaſſe quidem ipſum oſculari. Non profecto, inquit Socrates, ſed aliam quoque fortaſſis opinionem

γελοίαν κίνδυνος ἡμῖν προσλαβεῖν. ὄψον μὲν γὰρ δὴ οὕτως ἔοικεν εἶναι, ὡς κρόμμυόν γε οὐ μόνον σῖτον, ἀλλὰ καὶ ποτὸν ἡδύνει. εἰ δὲ δὴ τοῦτο καὶ μετὰ δεῖπνον τρωξόμεθα, ὅπως μὴ φήσῃ τις ἡμᾶς πρὸς Καλλίαν ἐλθόντας ἡδυπαθεῖν.

θʹ. Μηδαμῶς, ἔφη, ὦ Σώκρατες. εἰς μὲν γὰρ μάχην ὁρμωμένῳ καλῶς ἔχ[illegible] κρόμμυον ὑποτρώγειν, ὥσπερ ἔνιοι τοὺς ἀλεκτρυόνας σκόροδα σιτίσαντες συμβάλλουσι. ἡμεῖς δὲ ἴσως βουλευόμεθα ὅπως φιλήσομέν τινα μᾶλλον, ἢ μαχούμεθα.

ιʹ. Καὶ οὗτος μὲν δὴ ὁ λόγος οὕτω πως ἐπαύσατο. ὁ δὲ Κριτόβουλος· οὐκοῦν αὖ ἐγὼ λέξω, ἔφη, ἐξ ὧν ἐπὶ τῷ κάλλει μέγα φρονῶ. λέγε, ἔφασαν. εἰ μὲν τοίνυν μὴ καλός εἰμι, ὡς οἴομαι, ὑμεῖς ἂν δικαίως ἀπάτης δίκην ὑπέχοιτε. οὐδενὸς γὰρ ὁρκίζοντος ἀεὶ ὀμνύοντες, καλόν με φατὲ εἶναι. κἀγὼ μέντοι πιστεύω. καλοὺς γὰρ καὶ ἀγαθοὺς ὑμᾶς ἄνδρας νομίζω.

ιαʹ. Εἰ

nionem ridiculam poſſimus addere. Videtur enim cepa ſic eſſe condimentum, ut non cibum modo ſed potum quoque ſuaviorem efficiat. Quod ſi hac etiam à cœno veſcamur, verendum, ne quis nos ad Calliam ſic acceſſiſſe dicat, ut voluptati indulgeremus.

9. Nequaquam, ait, ô Socrates. Nam in pugnam pergenti ceparum uſus convenit, quemadmodum quidam allio gallos paſcunt, ac deinde committunt. Nobis autem hoc conſilii potius eſt, ut oſculaturi libentius ſimus, quam prœlio congreſſuri.

10. Hic ejus orationis finis fuit. Tum Critobulus: Ergo & ipſe dicam, ait, quibus de cauſſis ob formæ elegantiam me efferam. Dic, aiunt. Atqui ſi formoſus non ero, quemadmodum puto, merito vos fraudis pœnam ſuſtinueritis. Nam ſemper jurejurando confirmatis, formoſum eſſe me, nemine id à vobis exigente. Ac fidem vobis equidem habeo, quos eſſe bonos & honeſtos viros arbitror.

11. At

ιά. Εἰ δ' εἰμί τι τῷ ὄντι καλὸς, καὶ ὑμεῖς τὰ αὐτὰ πρὸς ἐμὲ πάσχετε, οἷάπερ ἐγὼ πρὸς τὸν ἐμοὶ δοκοῦντα καλὸν εἶναι, ὄμνυμι πάντας θεοὺς μὴ ἑλέσθαι ἂν τὴν βασιλέως ἀρχὴν ἀντὶ τοῦ καλὸς εἶναι.

ιβ'. Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι, ἢ τἄλλα πάντα τὰ ἐν ἀνθρώποις καλά. τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων μᾶλλον ἂν δεξαίμην εἶναι, ἢ ἐκείνου ἑνὸς ὄντος. ἄχθομαί τε καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσιν.

ιγ'. Αξιόν γε μὴν ἡμῖν τοῖς καλοῖς καὶ ἐπὶ τοῖσδε μέγα φρονεῖν, ὅτι τὸν μὲν ἰσχυρὸν πονοῦντα δεῖ κτᾶσθαι τἀγαθὰ, καὶ τὸν ἀνδρεῖον, κινδυνεύοντα, τὸν δέ γε σοφὸν, λέγοντα· ὁ δὲ καλὸς καὶ ἡσυχίαν ἔχων πάντ' ἂν διαπράξαιτο.

ιδ'. Εγωγ' οὖν, καίπερ εἰδὼς, ὅτι χρήματα ἡδὺ κτῆμα, ἥδιον μὲν ἂν τὰ ὄντα Κλεινίᾳ διδοίην, ἢ ἕτερα παρ'

ἄλλου

11. At ſi revera formoſus ſum, ac vobis idem erga me accidit, quod mihi erga illum, quem formoſum eſſe puto: Deos omnes teſtor, nolle me regis imperium potius, quam formæ præſtantiam.

12. Quippe Cliniam modo ſpecto lubentius, quam cetera univerſa, quæ pulchra ſunt in rebus humanis: malimque cæterarum rerum omnium, quam ejus unius aſpectu carere. Nocti etiam ſomnoque ſuccenſeo, quod eum non video: diei vero ac ſoli gratiam habeo maximam, quod Cliniam mihi ſpectandum exhibeat.

13. Æquum eſt etiam, ut nos formoſi propter hæc quoque ſimus animis elatis, quod eum, qui viribus polleat, laborando adquirere bona neceſſe ſit; & fortem, pericula ſubeundo; & ſapientem, dicendo: at qui formoſus eſt, etiamſi quieſcat, omnia tamen perficere poteſt.

14. Equidem tametſi norim opes eſſe poſſeſſionem gratam: lubentius tamen ea quæ mea ſunt, Cliniæ donarem, quam alia ab

altero

ἄλλου λαμβάνοιμι. ἥδιον δ' ἂν δουλεύοιμι, ἢ ἐλεύθερος εἴην, εἴ μου Κλεινίας ἄρχειν ἐθέλοι. καὶ γὰρ πονοίην ἂν ῥᾷον ἐκείνῳ, ἢ ἀναπαυοίμην, καὶ κινδυνεύοιμ' ἂν πρὸς ἐκείνου ἥδιον, ἢ ἀκίνδυνος ζῴην.

ιε'. Ὥστε εἰ σὺ, ὦ Καλλία, μέγα φρονεῖς ὅτι δικαιοτέρους δύνασαι ποιεῖν, ἐγὼ πρὸς πᾶσαν ἀρετὴν δικαιότερός σου εἰμὶ ἄγειν ἀνθρώπους. διὰ γὰρ τὸ ἐμπνεῖν τι ἡμᾶς τοὺς καλοὺς τοῖς ἐρωτικοῖς, ἐλευθεριωτέρους μὲν αὐτοὺς ποιοῦμεν εἰς χρήματα, φιλοπονωτέρους δὲ καὶ φιλοκαλωτέρους ἐν τοῖς κινδύνοις, καὶ μὴν αἰδημονεστέρους τε καὶ ἐγκρατεστέρους, οἵγε καὶ ὧν δέονται μάλιστα, ταῦτ' αἰσχύνονται.

ιϛ'. Μαίνονται δὲ καὶ οἱ μὴ τοὺς καλοὺς στρατηγοὺς αἱρούμενοι. ἐγὼ οὖν μετὰ Κλεινίου κἂν διὰ πυρὸς ἰοίην· οἶδα δὲ, ὅτι καὶ ὑμεῖς μετ' ἐμοῦ. ὥστε μηκέτι ἀπόρει, ὦ Σώκρατες, εἴ τι τοὐμὸν κάλλος ἀνθρώπους ὠφελήσει.

ιζ' Αλλ'

altero acciperem: lubentius ſervus, quam liber eſſem, ſi Clinias mihi velit imperare. Nam facilius eſſet mihi Cliniæ laborare, quam quietem capere: ac periculum ejus nomine lubentius adirem, quam expers periculi viverem.

15. Si tu denique, Callia, magnopere te effers, quod homines poſſis juſtiores facere; multo æquius eſt me ad omnem virtutem homines perducere. Nam quia nos formoſi quiddam amori deditis inſpiramus, id efficimus, ut quod pecuniam adtinet, ſint liberaliores: in periculis laborum & honeſti ſtudioſiores: verecundiores etiam, ac modeſtiores: adeo quidem, ut etiam illa, quibus maxime indigent, [eloqui] vereantur.

16. Inſani ſunt autem, qui non formoſos imperatores eligunt. Equidem cum Clinia vel per ignem incederem, neque dubito vos idem mecum facturos. Quamobrem non eſt, quod dubites amplius, mi Socrates, an formæ venuſtas in me bono alicui ſit hominibus.

17. Ne

ιζ΄. Ἀλλ' οὐδὲ μέντοι ταύτῃ γε ἀτιμαστέον τὸ κάλλος, ὡς ταχὺ παρακμάζον. ἐπεὶ ὥσπερ γε παῖς γίγνεται καλὸς, οὕτω καὶ μειράκιον, καὶ ἀνὴρ, καὶ πρεσβύτης. τεκμήριον δὲ, * θαλλοφόρους δὲ τῇ Ἀθηνᾷ τοὺς καλοὺς γέροντας ἐκλέγονται, ὡς συμπαρομαρτοῦντος πάσῃ ἡλικίᾳ τοῦ κάλλους.

ιη΄. Εἰ δὲ ἡδὺ τὸ παρ' ἑκόντων διαπράττεσθαι ὧν τις δέοιτο, εὖ οἶδ' ὅτι καὶ νυνὶ θᾶττον ἂν ἐγὼ καὶ σιωπῶν πείσαιμι τὸν παῖδα τόνδε καὶ τὴν παῖδα φιλῆσαί με, ἢ σὺ, ὦ Σώκρατες, εἰ καὶ πάνυ πολλὰ καὶ σοφὰ λέγοις.

ιθ΄. Τί τοῦτο; ἔφη ὁ Σωκράτης. ὡς γὰρ καὶ ἐμοῦ καλλίων ὢν ταῦτα κομπάζεις. νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ἢ πάντων Σειληνῶν τῶν ἐν τοῖς σατυρικοῖς αἴσχιστος ἂν εἴην. (ὁ δὲ Σωκράτης καὶ ἐτύγχανε προσεμφερὴς τούτοις ὤν.)

κ΄. Ἄγε νῦν, ἔφη ὁ Σωκράτης, ὅπως μεμνήσῃ διακριθῆναι περὶ τοῦ κάλλους, ἐπειδὰν οἱ προκείμενοι λόγοι περιέλθωσι. κρινάτω δὲ ὑμᾶς μὴ Ἀλέξανδρος ὁ

17. Ne hac quidem in parte forma vituperanda venit, quod cito flos ejus prætereat. Nam ut puer, ita & adoleſcentulus formoſus eſt, & vir, & ſenex. Ejus rei argumentum eſt, quod Minervæ in Thallophoros delegantur formoſiſſimi ſenes, quaſi forma ſit omni ætati comes.

18. Quod ſi jucundum eſt à volentibus impetrare, quibus aliquis indiget: ſat ſcio, mi Socrates, me nunc quoque citius vel tacentem huic puero puellæque perſuaſurum, ut me oſculentur, quam tu poſſis; tametſi multa ſapienter proferas.

19. Quid hoc eſt? ait Socrates. Jactitas hæc tu, quaſi etiam me ſis formoſior. Profecto, inquit Critobulus: ceteroquin omnium Silenorum ſatyricorum eſſem turpiſſimus. (Erat autem Socrates his perquam ſimilis.)

20. Age vero, ſubjecit Socrates, memineris habendum eſſe judicium de forma, ubi ſermones hi, quos inſtituimus, circumierint. Ferat autem judicium de nobis non Alexander ille

Πριάμου, ἀλλ' αὐτοὶ οὗτοι, οὕσπερ σὺ οἴει ἐπιθυμεῖν σε φιλῆσαι.

κα΄. Κλεινίᾳ δ', ἔφη, ὦ Σώκρατες, οὐκ ἂν ἐπιτρέψαις; καὶ ὃς εἶπεν· οὐ γὰρ αὖ παύσῃ σὺ Κλεινίου μεμνημένος; ἢν δὲ μὴ ὀνομάζω, ἧττόν τι με οἴει μεμνῆσθαι αὐτοῦ; οὐκ οἶσθα, ὅτι οὕτω σαφῶς ἔχω εἴδωλον αὐτοῦ ἐν τῇ ψυχῇ, ὡς εἰ πλαστικὸς ἢ ζωγραφικὸς ἦν, οὐδὲν ἂν ἧττον ἐκ τοῦ εἰδώλου, ἢ πρὸς αὐτὸν ὁρῶν, ὅμοιον αὐτῷ ἀπειργασάμην;

κβ΄. Καὶ ὁ Σωκράτης ὑπέλαβε· τί δῆτα οὕτως ὅμοιον εἴδωλον ἔχων, πράγματά μοι παρέχεις, ἄγεις τε αὐτὸν ὅπου ὄψει; ὅτι, ὦ Σώκρατες, ἡ μὲν αὐτοῦ ὄψις εὐφραίνειν δύναται, ἡ δὲ τοῦ εἰδώλου τέρψιν μὲν οὐ παρέχει, πόθον δὲ ἐμποιεῖ.

κγ΄. Καὶ ὁ Ερμογένης εἶπεν· ἀλλ' ἐγὼ, ὦ Σώκρατες, οὐδὲ πρὸς σοῦ ποιῶ τὸ περιιδεῖν Κριτόβουλον οὕτως ὑπὸ τοῦ ἔρωτος ἐκπλαγέντα. δοκεῖς γὰρ, ἔφη ὁ

Σωκράτης,

Priami filius, ſed hi ipſi quos tu oſculandi tui cupidos eſſe putas.

21. At Cliniæ, Socrates, judicium non permiſeris? Et ille: Non tu Cliniæ meminiſſe deſines? At ſi eum non nominem, an propterea minus me putas ipſius meminiſſe? Num ignoras, tam illuſtre me ſimulacrum ipſius habere in animo, ut ſi vel fictor, vel pictor eſſem, nihilo minus ei ſimilem exprimerem, ſi ſimulacrum, ac ſi ipſum intuerer.

22. Ejus ſermonem excipiens Socrates: Quamobrem igitur, ait, quum ſimulacrum ei tam ſimile habeas, mihi negotium faceſſis, eoque ducis, ubi eum videas? Propterea, mi Socrates, ait, quod vultus ejus eſſe mihi voluptati poteſt: ſimulacri vero ſpecies, ut delectationem nullam adfert, ita deſiderium excitat.

23. Tum Hermogenes: Ego vero, mi Socrates, inquit, ne à te quidem ſto, ut Critobulum adeo præ amore obſtupefactū contemnas. An tu exiſtimas, eum, inquit

Socrates,

Σωκράτης, ἐξ οὗ ἐμοὶ σύνεστιν, οὕτω διατεθῆναι αὐτόν; ἀλλὰ πότε μήν; οὐχ ὁρᾷς, ὅτι τούτῳ μὲν παρὰ τὰ ὦτα ἄρτι ἴουλος καθέρπει, Κλεινίᾳ δὲ πρὸς τὸ ὄπισθεν ἤδη ἀναβαίνει; οὗτος οὖν συμφοιτῶν εἰς ταυτὰ διδασκαλεῖα ἐκείνῳ, τότε ἰσχυρῶς προσεκαύθη.

κδ'. Α δὴ αἰσθόμενος ὁ πατὴρ παρέδωκέ μοι αὐτόν, εἴ τι δυναίμην ὠφελῆσαι. καὶ μέντοι πολὺ βέλτιον ἤδη ἔχει. πρόσθεν μὲν γὰρ, ὥσπερ οἱ τὰς Γοργόνας θεώμενοι, λιθίνως ἔβλεπε πρὸς αὐτόν, καὶ λιθίνως οὐδαμοῦ ἀπῄει ἀπ' αὐτοῦ.

κε'. Νῦν δὲ εἶδον αὐτὸν καὶ σκαρδαμύξαντα. καίτοι νὴ τοὺς θεούς, ὦ ἄνδρες, δοκεῖ μοι γε, ἔφη, (ὡς ἐν ὑμῖν αὐτοῖς εἰρῆσθαι) οὗτος καὶ πεφιληκέναι τὸν Κλεινίαν· οὗ ἔρωτος οὐδέν ἐστι δεινότερον ὑπέκκαυμα. καὶ γὰρ ἄπληστον, καὶ ἐλπίδας τινὰς γλυκείας παρέχει.

κϛ'. Ισως δὲ καὶ διὰ τὸ μόνον πάντων ἔργων * τὸ τοῖς στόμασι συμψαύειν ὁμώνυμον εἶναι τῷ ταῖς ψυχαῖς φιλεῖσθαι,

Socrates, ex quo mecum verſatur, hoc pacto unquam fuiſſe adfectum? Quando tandem? Non vides huic quidem lanuginem propter aures ſerpere, Cliniæ vero jam retrorſum ſurgere? Nimirum hic id temporis, quo ad eoſdem cum illo magiſtros itabat, ita vehementer exarſit.

24. Quibus animadverſis pater eum mihi tradidit, ſi quâ re prodeſſe ipſi poſſem. Et habet ſane jam multo melius. Nam antehac quaſi qui Gorgones ſpectant, ſaxeum in morem Cliniam inſpectabat, & quaſi ſaxeus eſſet, nuſquam ab ipſo diſcedebat.

25. Vidi etiam, quum conniveret. Immo per deos immortales videtur mihi, ô viri, (quod quidem inter vos dictum eſto) etiam deoſculatus eſſe Cliniam: quo ſane nihil eſt ad amorem accendendum acrius. Quippe ſatiari nequit, & ſpes quaſdam jucundas præbet.

26. Fortaſſis etiam, quia unicum hoc opus, corporum ſcilicet contactus, adpellationem communem habet cum amore illo qui eſt in animo,

λεῖσθαι, ἐντιμότερόν ἐστιν. οὗ ἕνεκα ἀφεκτέον ἐγώ φημι εἶναι φιλημάτων ὡραίων τῷ σωφρονεῖν δυνησομένῳ.

κζʹ. Καὶ ὁ Χαρμίδης εἶπεν, ἀλλὰ τί δή ποτε, ὦ Σώκρατες, ἡμᾶς μὲν οὕτω τοὺς φίλους μορμολύττῃ ἀπὸ τῶν καλῶν, αὐτὸν δέ σε, ἔφη, ἐγὼ εἶδον, ναὶ μὰ τὸν Ἀπόλλω, ὅτε παρὰ τῷ γραμματιστῇ ἐν τῷ αὐτῷ βιβλίῳ ἀμφότεροι ἐμβατεύετέ τι, τὴν κεφαλὴν πρὸς τῇ κεφαλῇ, καὶ τὸν ὦμον γυμνὸν πρὸς γυμνῷ τῷ Κριτοβούλου ὤμῳ ἔχοντα.

κηʹ. Καὶ ὁ Σωκράτης, φεῦ, ἔφη· ταῦτ' ἄρα, ἔφη, ἐγὼ ὥσπερ ὑπὸ θηρίου τινὸς δεδηγμένος, τόντε ὦμον πλεῖον ἢ πέντε ἡμέρας ὤδαξον, καὶ ἐν τῇ καρδίᾳ ὥσπερ κνῆσμά τι ἐδόκουν ἔχειν. ἀλλὰ νῦν τι σοί, ἔφη, ὦ Κριτόβουλε, ἐναντίον τοσούτων μαρτύρων προαγορεύω μὴ ἅπτεσθαί μου, πρὶν ἂν τὸ γένειον τῇ κεφαλῇ ὁμοίως κομήσῃς.

κθʹ. Καὶ οὗτοι μὲν δὴ οὕτως ἀναμὶξ ἔσκωπτόν τε καὶ ἐσπούδαζον.

ὁ

animo, honeſtius eſt. * Quamobrem aio equidem abſtinendum eſſe formoſorum ab oſculis, illi qui pudice ut vivere poſſit, expetit.

27. Ad ea Charmides: Tu vero, mi Socrates, inquit, quamobrem nos amicos tuos adeo quibuſdam quaſi puerorum terriculamentis a formoſis depellis, quum ego te ipſum viderim, ita me Apollo amet, quo tempore apud litteratorem eodem in libro uterque aliquid quærebatis, caput capiti, humerumque nudum nudo Critobuli humero admoviſſe?

28. Et Socrates: Proh, inquit, hæc ipſa, quum velut à bellua quadam morſus eſſem, diutius quam dies quinque fricuerunt humerum, & in corde quaſi pruritum quemdam habere videbar. Verum nunc tibi, Critobule, coram tot teſtibus denuntio, ne me prius attingas, quam mentum tibi perinde atque caput, pilis veſtitum fuerit.

29. Atque hi quidem in hunc modum ſeria jocoſque miſcebant.

Et

ὁ δὲ Καλλίας· σὸν μέρος, ἔφη, λέγειν, ὦ Χαρμίδη, διότι ἐπὶ πενίᾳ μέγα φρονεῖς. Οὐκοῦν τόδε μὲν (ἔφη) ὁμολογεῖται, κρεῖττον εἶναι θαρρεῖν ἢ φοβεῖσθαι, καὶ ἐλεύθερον εἶναι μᾶλλον ἢ δουλεύειν, καὶ θεραπεύεσθαι μᾶλλον ἢ θεραπεύειν, καὶ πιστεύεσθαι ὑπὸ τῆς πατρίδος μᾶλλον ἢ ἀπιστεῖσθαι.

λ'. Ἐγὼ τοίνυν ἐν τῇδε τῇ πόλει ὅτε μὲν πλούσιος ἦν, πρῶτον μὲν ἐφοβούμην, μή τίς μου τὴν οἰκίαν διορύξας καὶ τὰ χρήματα λάβοι, καὶ αὐτόν τι με κακὸν ἐργάσαιτο· ἔπειτα δὲ καὶ τοὺς συκοφάντας ἐθεράπευον, εἰδὼς ὅτι παθεῖν μᾶλλον κακῶς ἱκανὸς εἴην, ἢ ποιῆσαι ἐκείνους. καὶ γὰρ δὴ καὶ προσετάττετο μὲν ἀεί τι μοι δαπανᾶν ὑπὸ τῆς πόλεως, ἀποδημῆσαι δὲ οὐδαμοῦ ἐξῆν.

λα'. Νῦν δ' ἐπειδὴ τῶν ὑπερορίων στέρομαι, καὶ τὰ ἔγγαια οὐ καρποῦμαι, καὶ τὰ ἐκ τῆς οἰκίας πέπραται, ἡδέως μὲν καθεύδω ἐκτεταμένος, πιστὸς δὲ τῇ πόλει γεγένημαι,

οὐκ

Et Callias: Tuum fuerit, inquit, dicere, mi Charmides, quamobrem ob paupertatem elato ſis animo. Eſt in confeſſo, ait, potiorem eſſe fiduciam animi, quam metum: potiorem libertatem, quam ſervitutem: potius eſſe coli, quam colere: fidem à patria haberi alicui, quam non haberi.

30. Itaque quum in hac civitate opulentus equidem eſſem, primum verebar, ne quis parietibus ædium mearum perfoſſis, & facultates adimeret mihi, & me quoque læderet. Deinde colebam calumniatores, quod ſcirem ad perpetiendum aliquid mali magis eſſe me comparatum, quam ad faciendum. Nam ſemper aliquid mihi ſumtuum, qui expenderentur, à republica imperabatur, & abire peregre licebat nuſquam.

31. Nunc poſteaquam fortunis, quas extra fines noſtros habebam, ſpoliatus ſum: & de iis, quæ in hac regione ſita ſunt, fructum nullum percipio; & res familiaris eſt vendita: porrectus ſcilicet jucunde dormio, fidem auctoritatemque apud rempublicam nanctus ſum,

aliorum

οὐκέτι δὲ ἀπειλοῦμαι, ἀλλ’ ἤδη ἀπειλῶ ἄλλοις, ὡς ἐλευθέρῳ τε ἔξεστί μοι καὶ ἀποδημεῖν καὶ ἐπιδημεῖν. ὑπανίστανται δέ μοι ἤδη καὶ θάκων, καὶ ὁδῶν ἐξίστανται οἱ πλούσιοι.

λβ΄. Καὶ εἰμὶ νῦν μὲν τυράννῳ ἐοικώς, τότε δὲ σαφῶς δοῦλος ἦν. καὶ τότε μὲν ἐγὼ φόρον ἀπέφερον τῷ δήμῳ, νῦν δὲ ἡ πόλις τέλος φέρουσα τρέφει με. ἀλλὰ καὶ Σωκράτει, ὅτε μὲν πλούσιος ἦν, ἐλοιδόρουν με ὅτι συνῆν· νῦν δ’ ἐπεὶ πένης γεγένημαι, οὐκέτι οὐδὲν μέλει οὐδενί. καὶ μὴν ὅτε μέν γε πολλὰ εἶχον, ἀεί τι ἀπέβαλλον ἢ ὑπὸ τῆς πόλεως, ἢ ὑπὸ τῆς τύχης· νῦν δὲ ἀποβάλλω μὲν οὐδέν, (οὐδὲ γὰρ ἔχω) ἀεὶ δέ τι λήψεσθαι ἐλπίζω.

λγ΄. Οὐκοῦν, ἔφη ὁ Καλλίας, καὶ εὔχῃ μηδέποτε πλουτεῖν, καὶ ἐάν τι ὄναρ ἀγαθὸν ἴδῃς, τοῖς ἀποτροπαίοις θύοις; μὰ Δία τοῦτο μέντοι, ἔφη, ἐγὼ οὐ ποιῶ, ἀλλὰ μάλα φιλοκινδύνως ὑπομένω, ἤν ποθέν τι ἐλπίζω λήψεσθαι.

λδ΄. Αλλ’

aliorum minas non experior, aliis ipſe minitor, ut homo liber abeundi peregre, domique manendi facultatem habeo, denique opulenti jam & de honeſtiore loco mihi adſurgunt, & via cedunt.

32. Nunc regi ſimilis videor, qui tunc haud dubie ſervus eram. Tum temporis populo tributum ego pendebam, nunc reſpublica vectigal mihi pendit, dum me alit. Etiam conviciis me inceſſebant, quum locuples eſſem, quod conſuetudine Socratis uterer: nunc poſteaquam ad paupertatem redactus ſum, ea res nemini amplius eſt curæ. Præterea quum multa poſſiderem, ſemper aliquid vel reſpublica, vel fortuna adimebat. Nunc nihil amitto, qui nihil habeam, & ſemper aliquid accepturum me ſpero.

33. Ergo, inquit Callias, etiam optas tu numquam, ut opulentus fias, ac ſi quod ſomnium fauſtum videres, averruncis rem ſacram faceres? Id equidem profecto non facio, ait, ſed valde tamen alacriter opperior, ſicunde quid accepturum me ſpero.

34. Age

λδ'. Ἀλλ' ἄγε δή, ἔφη ὁ Σωκράτης, σὺ αὖ λέγε ἡμῖν, ὦ Ἀντίσθενες, πῶς οὕτω βραχέα ἔχων μέγα φρονεῖς ἐπὶ πλούτῳ; ὅτι νομίζω, ὦ ἄνδρες, τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν, ἀλλ' ἐν ταῖς ψυχαῖς.

λε'. Ὁρῶ γὰρ πολλοὺς μὲν ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα, οὕτω πένεσθαι ἡγοῦνται, ὥστε πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ' ᾧ πλείονα κτήσονται. οἶδα δὲ καὶ ἀδελφούς, οἳ τὰ ἴσα λαχόντες, ὁ μὲν αὐτῶν τἀρκοῦντα ἔχει καὶ περισσεύοντα τὰ τῆς δαπάνης, ὁ δὲ τοῦ παντὸς ἐνδεῖται.

λϛ'. Αἰσθάνομαι δὲ καὶ τυράννους τινάς, οἳ οὕτως αὖ πεινῶσι χρημάτων, ὥστε ποιοῦσι πολὺ δεινότερα τῶν ἀπορωτάτων. δι' ἔνδειαν μὲν γὰρ δήπου οἱ μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται· τύραννοι δ' εἰσί τινες, οἳ ὅλους μὲν οἴκους ἀναιροῦσιν, ἀθρόους δ' ἀποκτείνουσιν, πολλάκις δὲ καὶ ὅλας πόλεις χρημάτων ἕνεκα ἐξανδραποδίζονται.

λζ'. Τούτους

34. Age vero, inquit Socrates, tu nobis Antisthenes dicito, quo pacto tam elato ſis ob divitias animo, quum tam exiguæ ſint facultates tuæ? Quod arbitror, ait, ô viri, non in ædibus ſitas eſſe tum opes tum paupertatem hominibus, ſed in animis.

35. Multos enim privatos homines eſſe video, qui quum facultates ampliſſimas poſſideant, adeo ſe tamen eſſe pauperes arbitrantur: ut quemvis laborem, quodvis periculū ſubeant quo plura comparare poſſint. Fratres etiam novi, quibus quum facultates æquales obtigerint, tamen alter eorum quæ abunde ſufficiant, & ſumtū etiam ſuperent, habet: alteri nihil non deeſt.

36. Animadverto & reges quoſdam eſſe, qui tanta opum fame laborant, ut longe graviora committant, quam homines maxime inopes. Nam propter egeſtatem nonnulli furantur, alii parietes perfodiunt, alii committunt plagium: at reges quidam ſunt, qui pecuniarum cauſſa familias totas evertunt, occidunt multos, ſæpenumero totas etiã urbes diripiunt.

37. Hos

λζʹ. Τούτους μὲν οὖν ἔγωγε καὶ πάνυ οἰκτείρω τῆς ἄγαν χαλεπῆς νόσου· ὅμοια γάρ μοι δοκοῦσι πάσχειν, ὥσπερ εἴ τις πολλὰ ἔχων, καὶ πολλὰ ἐσθίων, μηδέποτε ἐμπίπλαιτο. ἐγὼ δὲ οὕτω μὲν πολλὰ ἔχω, ὡς μόλις αὐτὰ καὶ ἐγὼ ἂν αὐτὸς εὑρίσκω, ὅμως δὲ περίεστί μοι καὶ ἐσθίοντι ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι, καὶ πίνοντι μέχρι τοῦ μὴ διψῆν, καὶ ἀμφιέννυσθαι ὥστε ἔξω μὲν μηδὲν μᾶλλον Καλλίου τούτου τοῦ πλουσιωτάτου ῥιγοῦν.

ληʹ. Ἐπειδάν γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεεινοὶ χιτῶνες ὡς τοῖχοί μοι δοκοῦσιν εἶναι, πάνυ δὲ παχεῖαι ἐφεστρίδες ὡς ὄροφοι. στρωμνήν γε μὴν οὕτως ἀρκοῦσαν ἔχω, ὥστ᾽ ἔργον ★ μέτεστι καὶ ἀνεγεῖραι. ἢν δέ ποτε καὶ ἀφροδισιάσαι τὸ σῶμά μου δεηθῇ, οὕτω μοι τὸ παρὸν ἀρκεῖ, ὥστε αἷς ἂν προσέλθω, ὑπερασπάζονταί με, διὰ τὸ μηδένα ἄλλον αὐταῖς ἐθέλειν προσιέναι.

λθʹ. Καὶ πάντα τοίνυν ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι, ὡς μᾶλλον μὲν ἥδεσθαι ποιῶν ἕκαστα αὐτῶν οὐκ ἂν εὐξαίμην,

37. Hos igitur equidem non poſſum non vehementer miſerari, quod tam gravi morbo laborent. Nam ſimile quid ipſis accidere mihi videtur, atque ſi quis multa poſſideat, multaque comedat, nunquam tamen ſaturetur. Ego vero tam multa ſcilicet habeo, vix ut ea poſſim ipſe invenire. Nihilominus ſuperat mihi aliquid dum comedo, donec eo perveniam, ut non eſuriam: & bibo, donec non ſitiam: & ita veſtitus ſum, ut foris nihilo magis quam ditiſſimus hic Callias frigeam.

38. Quum domi ſum, admodum mihi calidæ videntur eſſe tunicæ parietes ipſi, & tecta craſſorum paludamentorum inſtar. Stragula veſte uſque adeo abundo, ut etiam excitari difficulter poſſim. Quod ſi aliquando re venerea corpus indigeat, adeo mihi ſatisfacit, quod adeſt; ut illæ, ad quas accedo, mirifice me cōplectantur, propterea quod eas alii convenire nolint.

39. Atq; hæc omnia tam jucunda mihi accidunt, ut dum ea facio ſingula, non equidem majori ſed minori potius delectatione perfrui

optem ;

εὐξαίμην, * ἧττον δὲ τούτων μοι δοκεῖ ἔνια αὐτῶν ἡδίω εἶναι τοῦ συμφέροντος.

μ'. Πλείστου δ' ἄξιον κτῆμα ἐν τῷ ἐμῷ πλούτῳ λογίζομαι εἶναι ἐκεῖνο, ὅτι εἴ μου τις καὶ τὰ νῦν ὄντα παρέλοιτο, οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον, ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι.

μα'. Καὶ γὰρ ὅταν ἡδυπαθῆσαι βουληθῶ, οὐκ ἐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι, (πολυτελῆ γὰρ γίγνεται) ἀλλ' ἐκ τῆς ψυχῆς ταμιεύομαι. καὶ πολὺ πλεῖον διαφέρει πρὸς ἡδονὴν, ὅταν ἀναμείνας τὸ δεηθῆναι προσφέρωμαι, ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι. ὥσπερ καὶ νῦν τῷδε τῷ Θασίῳ οἴνῳ ἐντυχὼν, οὐ διψῶν πίνω αὐτόν.

μβ'. Ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας. οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. ἄξιον δ' ἐννοῆσαι, ὡς καὶ ἐλευθερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται.

μγ'. Σωκρά-

optem: quod pleraque mihi jucundiora eſſe videantur quã expediat.

40. Rem autem longe maximi pretii meis in opibus illis eſſe exiſtimo, quod etiam ſi quis ea mihi adimat, quæ nunc adſunt; nullum eſſe tam vile opus videam, quod mihi non ſatis alimenti ſuppeditet.

41. Etenim ubi voluptariam agere vitam voluero, non ex foro magni pretii quædam coëmo, quod ea nimis magno ſumtu væneant, ſed ex animo promo. Adeoque multo plus confert ad voluptatem, quod expectato tempore, quo quid requiram, ita deinde ſumo; quam ſi magno pretio redemtis utar. Quemadmodum nunc quoque, quum in hoc vinum Thaſium inciderim, bibo illud ſine ſiti.

42. Enimvero par eſt credere, multo etiam juſtiores eſſe, qui vilitatem victus potius quam caritatem ſpectant. Nam quibus maxime præſentia ſatisfaciunt, ii minime aliena concupiſcunt. Eſt autem operæ pretium conſiderare, quam liberales efficiant homines hujuſmodi divitiæ.

μγʹ. Σωκράτης τε γὰρ οὗτος, παρ' οὗ ἐγὼ ἐκτησάμην, οὔτ' ἀριθμῷ, οὔτε σταθμῷ ἐπήρκει μοι, ἀλλ' ὁπόσον ἐδυνάμην φέρεσθαι, τοσοῦτόν μοι παρεδίδου. ἐγώ τε νυνὶ οὐδενὶ φθονῶ, ἀλλὰ πᾶσι τοῖς φίλοις καὶ 'ἐπιδεικνύω τὴν ἀφθονίαν, καὶ μεταδίδωμι τῷ βουλομένῳ τοῦ ἐν τῇ ἐμῇ ψυχῇ πλούτου. καὶ μὴν καὶ τὸ ἀβρότατόν γε κτῆμα τὴν σχολὴν ἀεὶ ὁρᾶτέ μοι παροῦσαν, ὥστε καὶ θεάσασθαι τὰ ἀξιοθέατα, καὶ ἀκούειν τὰ ἀξιάκουστα. καὶ (ὃ πλείστου ἐγὼ τιμῶμαι) Σωκράτει σχολάζων συνδιημερεύειν. καὶ οὗτος δὲ οὐ τοὺς πλεῖστον ἀριθμοῦντας χρυσίον θαυμάζει, ἀλλ' οἳ ἂν αὐτῷ ἀρέσκωσι, τούτοις συνὼν διατελεῖ.

μδʹ. Οὗτος μὲν οὖν οὕτως εἶπεν· ὁ δὲ Καλλίας· νὴ τὴν Ἥραν, ἔφη, τά τε ἄλλα ζηλῶ σε τοῦ πλούτου, καὶ ὅτι οὔτε ἡ πόλις σοι 'ἐπιτάττουσα ὡς δούλῳ χρῆται, οὔτε οἱ ἄνθρωποι, ἢν μὴ δανείσῃς, ὀργίζονται.

μεʹ. Ἀλλὰ μὰ Δί, ἔφη ὁ Νικήρατος, μὴ ζήλου. ἐγὼ γὰρ

ἤξω

43. Nam Socrates hic, à quo has ſum conſequutus, neque numero, neque pondere mihi eas ſuppeditabat: ſed dabat mihi tantum quantum ferre poteram. Atque equidem nemini mea nunc invideo, ſed abundantiam amicis omnibus oſtento, & animi opes volenti communico. Quinetiam rem omnium delicatiſſimam, videlicet otium, ſemper adeſſe mihi videtis: qui ſpectem, quæ digna ſunt contemplatu; & audiam, quæ auditu digna: &, quod equidem maximi facio, adeſſe Socrati totos dies in otio poſſim. Atque is etiam ipſe non eos admiratur, qui plurimum auri numerant: ſed perpetuo cum iis verſatur, qui ipſi placent.

44. Atque hoc modo quum loquutus is eſſet: Per Junonem, ait Callias, cum alias ob cauſſas his cum opibus admirationi mihi es: tum quod neque te ſerui loco civitas habeat, aliquid ſcilicet imperans: neque homines tibi ſucceuſeant, ſi nihil des mutuo.

45. Tu vero hunc mirari deſine, ait Niceratus. Nam ego

cum

ἥξω παρ' αὐτοῦ δανεισάμενος τὸ μηδενὸς προσδεῖσθαι οὕτω πεπαιδευμένος ὑπὸ Ομήρου ἀριθμεῖν,

Επτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·

Σταθμῷ καὶ ἀριθμῷ ὡς πλείστου πλούτου ἐπιθυμῶν οὐ παύομαι. ἐξ ὧν ἴσως καὶ φιλοχρηματώτερός τισι δοκῶ εἶναι. ἔνθα δὴ ἀνεγέλασαν ἅπαντες, νομίζοντες τὰ ὄντα εἰρηκέναι αὐτόν.

μϛ'. Εκ τούτου εἶπέ τις, σὸν ἔργον, ὦ Ερμόγενες, λέγειν τε τοὺς φίλους, οἵτινές εἰσι, καὶ ἐπιδεικνύναι, ὡς μέγα τε δύνανται, καὶ σοῦ ἐπιμέλονται, ἵνα δοκῇς δικαίως ἐπ' αὐτοῖς μέγα φρονεῖν.

μζ'. Οὐκοῦν ὡς μὲν γὰρ Ελληνες καὶ βάρβαροι τοὺς θεοὺς ἡγοῦνται πάντα εἰδέναι τά τε ὄντα καὶ τὰ μέλλοντα, εὔδηλον. πᾶσαι γοῦν αἱ πόλεις, καὶ πάντα τὰ ἔθνη διὰ μαντικῆς ἐπερωτῶσι τοὺς θεούς, τί τε χρή,

καὶ

eum conveniam, qui quidem ſumam hoc ab eo mutuo, ne qua mihi re ſit opus amplius. Etenim ab Homero edoctus, ut ita numerem,

Septenos tripodes, atque auri dena talenta,
Vigintique lebetes, bis ſenoſque caballos:

Non deſino pondere ac numero divitias quam plurimas expetere. Quo fortaſſe fit, ut quibuſdam avidior eſſe pecuniæ videar. Ibi vero in riſum effuſi ſunt omnes, qui eum quod res eſſet, dixiſſe arbitrarentur.

46. Secundum hæc quidam: Tuum jam eſt, ait, de amicis dicere, Hermogenes, quinam illi ſint; ac demonſtrare, magnam illorum eſſe potentiam, teque illis eſſe curæ, ut merito magnos ſpiritus gerere propter eos videaris.

47. Notum igitur eſt tam Græcos quã barbaros exiſtimare, Deos univerſa tum præſentia tum futura ſcire. Omnes itaque tum civitates, tum nationes, per divinationem conſulunt Deos, quid faciundum,

quid

καὶ τί οὐ χρὴ ποιεῖν. καὶ μὴν ὅτι νομίζομέν γε δύνασθαι αὐτοὺς καὶ εὖ καὶ κακῶς ποιεῖν, καὶ τοῦτο σαφές. πάντες γοῦν αἰτοῦνται τοὺς θεοὺς τὰ μὲν φαῦλα ἀποτρέπειν, τἀγαθὰ δὲ διδόναι.

μη'. Οὗτοι τοίνυν οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμενοι θεοὶ, οὕτω μοι φίλοι εἰσὶν, ὥστε διὰ τὸ ἐπιμελεῖσθαί μου, οὔποτε λήθω αὐτοὺς οὔτε νυκτὸς, οὔθ' ἡμέρας, οὔθ' ὅποι ἂν ὁρμῶμαι, οὔθ' ὅ,τι ἂν μέλλω πράττειν. διὰ δὲ τὸ προειδέναι καὶ ὅ,τι ἐξ ἑκάστου ἀποβήσεται, σημαίνουσί μοι, πέμποντες ἀγγέλους, φήμας, καὶ ἐνύπνια, καὶ οἰωνοὺς, ἅ τε δεῖ, καὶ ἃ οὐ χρὴ ποιεῖν. οἷς ἐγὼ ὅταν μὲν πείθωμαι, οὐδέ ποτέ μοι μεταμέλει· ἤδη δέ ποτε καὶ ἀπιστήσας ἐκολάσθην.

μθ'. Καὶ ὁ Σωκράτης εἶπεν· ἀλλὰ τούτων μὲν οὐδὲν ἄπιστον. ἐκεῖνο μέντοι ἔγωγε ἡδέως ἂν πυθοίμην, πῶς αὐτοὺς θεραπεύων οὕτω φίλους ἔχεις. ναὶ μὰ τὸν Δία (ἔφη ὁ Ερμογένης) καὶ μάλα εὐτελῶς. ἐπαινῶ τε γὰρ αὐτοὺς οὐδὲν

quid omittendum ſit. Etiam nos illa patet eſſe in ſententia, quod Dii nobis tum commodare tum incommodare poſſint. Nam Deos precantur univerſi, ut mala quidem avertant, bona vero largiantur.

48. Hi ergo Dii, qui omnia norunt, & poſſunt omnia, tam mihi ſunt amici, ut quia ſum ipſis curæ, numquam meæ res eos fugiant, neque noctu, neque interdiu, neque quo pergam, neque quid ſuſcepturus ſim. Et quia proſpiciunt, quinam cujuſque rei futurus ſit eventus: miſſis nuntiis, ominibus, ſomniis, auguriis, quid faciundum, quid omittendum ſit, mihi ſignificant. Eis quum obtempero, non illius umquam me poenitet; & quia morem aliquando non geſſi, poenas dedi.

49. Tum Socrates: Nihil horum, inquit, eſt incredibile: verum hoc equidem ſciſcitari lubens velim, qua ratione colas eos, ut tam amicos habeas. Vili profecto, inquit Hermogenes. Quippe nullum ſumtum faciens, eos laudo, & de

οὐδὲν δαπανῶν, ὧν τε διδόασιν ἀεὶ αὖ παρέχομαι, εὐφημῶ τε ὅσα ἂν δύνωμαι, καὶ ἐφ' οἷς ἂν αὐτοὺς μάρτυρας ποιήσομαι, ἑκὼν οὐδὲν ψεύδομαι. νὴ Δί', ἔφη ὁ Σωκράτης, εἰ ἄρα τοιοῦτος ὢν φίλους αὐτοὺς ἔχεις, καὶ οἱ θεοί, ὡς ἔοικε, καλοκἀγαθίᾳ ἥδονται.

ν'. Οὗτος μὲν δὴ ὁ λόγος οὕτως ἐσπουδαιολογήθη. ἐπεὶ δὲ εἰς τὸν Φίλιππον ἧκον, ἠρώτων αὐτόν, τί ὁρῶν ἐν τῇ γελωτοποιΐᾳ μέγα ἐπ' αὐτῇ φρονοίη. οὐ γὰρ ἄξιον, ἔφη, ὁπότε γε πάντες εἰδότες, ὅτι γελωτοποιός εἰμι, ὅταν μέν τι ἀγαθὸν ἔχωσι, παρακαλοῦσί με ἐπὶ ταῦτα προθύμως· ὅταν δέ τι κακὸν λάβωσι, φεύγουσιν ἀμεταστρεπτί, φοβούμενοι μὴ καὶ ἄκοντες γελάσωσι;

να'. Καὶ ὁ Νικήρατος εἶπε· νὴ Δία σὺ τοίνυν δικαίως μέγα φρονεῖς. ἐμοὶ γὰρ αὖ τῶν φίλων οἱ μὲν εὖ πράττοντες ἐκποδὼν ἀπέρχονται, οἱ δ' ἂν κακόν τι λάβωσι, γενεαλογοῦσι τὴν συγγένειαν, καὶ οὐδέ ποτέ μου ἀπολείπονται.

νβ'. Εἶεν.

de iis, quæ dederunt, viciſſim præbeo: quantumque poſſum, pie loquor: & quibus in rebus eos teſtes cito, in iis volens equidem numquam mentior. Profecto, ait Socrates, ſi quum talis ſis, amicos eos experiris: etiam Deos par eſt credere, virtute ac honeſtate delectari.

50. Atque hactenus in hunc modum ſerio colloquebantur. Verum ubi ad Philippum ventum eſſet, quærebant ex eo, quidnam perſpexiſſet in ratione movendi riſus, quod propterea ſeſe efferret. An non operæpretium eſt, ait, quod quum omnes norint, me joculatorem eſſe, ſi quid nancti ſunt boni, perlubenter ad id me invitant: ſin quid accidit mali, fugiunt ita, ut ne quidem reſpiciant; veriti ſcilicet, ne vel inviti rideant?

51. Jure tu, ait Niceratus, te effers. Etenim amici mei, quibus res ſunt proſperæ, longe me fugiunt: at quibus adverſi quid accidit, cognationem recenſendo enumerant, nec umquam me miſſum faciunt.

νβ'. Εἶεν. σὺ δὲ δή, ἔφη ὁ Χαρμίδης, ὦ Συρακόσιε, ἐπὶ τῷ μέγα φρονεῖς; ἢ δῆλον, ὅτι ἐπὶ τῷ παιδί. μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή, ἀλλὰ καὶ δέδοικα περὶ αὐτοῦ ἰσχυρῶς. αἰσθάνομαι γὰρ τινας ἐπιβουλεύοντας διαφθεῖραι αὐτόν.

νγ'. Καὶ ὁ Σωκράτης ἀκούσας· Ἡράκλεις, ἔφη, τί τοσοῦτον νομίζουσιν ἠδικῆσθαι ὑπὸ τοῦ σοῦ παιδός, ὥστε ἀποκτεῖναι αὐτὸν βούλεσθαι; ἀλλ' οὔτοι, ἔφη, ἀποκτεῖναι βούλονται, ἀλλὰ πεῖσαι αὐτὸν συγκαθεύδειν αὐτοῖς. σὺ δέ, ὡς ἔοικας, εἰ τοῦτο γένοιτο, νομίζεις ἂν διαφθαρῆναι αὐτόν; ναὶ μὰ Δί', ἔφη, παντάπασί γε.

νδ'. Οὐδ' αὐτὸς ἄρ', ἔφη, συγκαθεύδεις αὐτῷ; νὴ Δί' ὅλας γε καὶ πάσας τὰς νύκτας. νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, εὐτύχημά γε σου μέγα, τὸ τὸν χρῶτα τοιοῦτον φῦναι ἔχοντα, ὥστε μόνον μὴ διαφθείρειν τοὺς συγκαθεύδοντας. ὥστε σοί γε, εἰ μὴ ἐπ' ἄλλῳ, ἀλλ' ἐπὶ τῷ χρωτὶ ἄξιον μέγα φρονεῖν.

52. Eſto. Tu vero, inquit Charmides, Syracuſane, qua te re efferſ? an perſpicuum eſt efferri te animō propter hunc puerum? Nequaquam, ait. Immo propter ipſum magno ſum in metu. Nam quoſdam animadverto ei inſidiari, ut eam perdant.

53. Id Socrates quum audiviſſet: Proh Hercules, inquit, quare tantopere ſe abs tuo puero læſos arbitrantur, ut eum interficere velint? At enim, ait, nequaquam eum interficere volunt, ſed perſuadere, ut cum ipſis dormiat. Tu vero, quemadmodum videtur, id ſi fiat, exiſtimas eum perditum iri? Omnino ſcilicet, ait.

54. Ergo ne ipſe quidem cum eo cubas? Vero, inquit, & quidem totas omneſque noctes. Ita me Juno amet, ait Socrates, magna iſthæc felicitas tua eſt, quod à natura tale corpus habeas, ut ſolus tecum cubantes non corrumpas. Quo fit, ut ſi non aliam ob rem, ſaltem propter hoc corpus, æquum ſit, magnopere te efferri.

νε΄. Ἀλλὰ μὰ Δί᾽, ἔφη, οὐκ ἐπὶ τούτῳ μέγα φρονῶ. ἀλλ᾽ ἐπὶ τῷ μήν; ἐπὶ (νὴ Δία) τοῖς ἄφροσιν. οὗτοι γὰρ τὰ ἐμὰ νευρόσπαστα θεώμενοι τρέφουσί με. ταῦτα γάρ, ἔφη ὁ Φίλιππος, καὶ πρώην ἐγώ σου ἤκουον εὐχομένου πρὸς τοὺς θεοὺς, ὅπου ἂν ᾖς, διδόναι καρποῦ μὲν ἀφθονίαν, φρενῶν δὲ ἀφορίαν.

νϛ΄. Εἶεν, ἔφη ὁ Καλλίας. σὺ δὲ δὴ, ὦ Σώκρατες, τί ἔχεις εἰπεῖν, ὡς ἄξιόν σοι ἐστὶ μέγα φρονεῖν ἐφ᾽ ᾗ εἶπας οὕτως ἀδόξῳ οὔσῃ τέχνῃ; καὶ ὃς εἶπεν· ὁμολογησώμεθα πρῶτον, ποῖά ἐστιν ἔργα τοῦ μαστροποῦ· καὶ ὅσα ἂν ἐρωτῶ, μὴ ὀκνεῖτε ἀποκρίνεσθαι ἵνα εἰδῶμεν, ὅσα ἂν συνομολογῶμεν. καὶ ὑμῖν οὕτω δοκεῖ; ἔφη. πάνυ μὲν οὖν, ἔφασαν. ὡς δὲ ἅπαξ εἶπον [Πάνυ μὲν οὖν], τοῦτο πάντες ἐκ τοῦ λοιποῦ ἀπεκρίναντο.

νζ΄. Οὐκοῦν ἀγαθοῦ μὲν, ἔφη, ὑμῖν δοκεῖ μαστροποῦ ἔργον εἶναι, ὃν ἂν, ἢ ἣν ἂν μαστροπεύῃ, * ἀρέσκοντα

τοῦτον

55. Ego vero non hanc cauſſam me effero, inquit. Propter quam igitur? Profecto propter homines ſtultos, ait. Nam illi propterea, quod ſpectent imagunculas meas fidiculis motas, me alunt. Nuper etiam ſubjecit Philippus, id à Diis precari te audiebam, ut ubicumque eſſes, ibi fructuum quidem magnam copiam largirentur, ſapientiæ vero ſterilitatem.

56. Sit ita ſane, inquit Callias. Tu vero Socrates, quid proferre potes, quamobrem æquum cenſeas, elato te eſſe animo, propter artem quam dixiſti adeo ignominioſam? Et Socrates: Primum, inquit, velim inter nos conveniat, quod lenonis ſit officium. Tum quod interrogavero, ad id reſpondete promte: ut ſciamus, de quibus inter nos conveniat. Num ita vobis etiam videtur? Maxime vero, inquiunt. Atque uti ſemel dicebant [Maxime vero]; ita hoc ipſum in reſpondendo deinceps retinebant.

57. Ergo vobis boni lenonis eſſe videtur, inquit, ut quem, quamve perduxerit, cum iis gratum

efficiat,

τοῦτον ἀποδεικνύναι οἷς ἂν συνῇ; πάνυ μὲν οὖν, ἔφασαν· οὐκοῦν ἓν μέν τι ἐστὶν εἰς τὸ ἀρέσκειν, ἐκ τοῦ πρέπουσαν ἔχειν σχέσιν καὶ τριχῶν καὶ ἐσθῆτος; πάνυ μὲν οὖν, ἔφασαν.

νη'. Οὐκοῦν καὶ τόδε ἐπιστάμεθα, ὅτι ἔστιν ἀνθρώπῳ τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς καὶ ἐχθρῶς πρός τινας βλέπειν; πάνυ μὲν οὖν. τί δέ, τῇ αὐτῇ φωνῇ ἔστι καὶ αἰδημόνως καὶ θρασέως φθέγγεσθαι; πάνυ μὲν οὖν. τί δέ, λόγοι οὐκ εἰσὶ μὲν τινὲς ἀπεχθανόμενοι, εἰσὶ δὲ τινές, οἳ πρὸς φιλίαν ἄγουσιν; πάνυ μὲν οὖν.

νθ'. Οὐκοῦν τούτων ὁ ἀγαθὸς μαστροπὸς τὰ συμφέροντα εἰς τὸ ἀρέσκειν διδάσκοι ἄν; πάνυ μὲν οὖν. ἀμείνων δ' ἂν εἴη, ἔφη, ὁ ἑνὶ δυνάμενος ἀρεστοὺς ποιεῖν, ἢ ὅστις καὶ πολλοῖς; ἐνταῦθα μέντοι ἐσχίσθησαν. καὶ οἱ μὲν εἶπον, δῆλον ὅτι ὅστις πλείστοις· οἱ δέ, πάνυ μὲν οὖν.

ξ'. Ο δ' εἰπών, ὅτι καὶ τοῦτο ὁμολογεῖται, ἔφη· εἰ δέ τις καὶ ὅλῃ τῇ πόλει ἀρέσκοντας δύναιτο ἀποδεικνύναι, οὐχ οὗτος παντελῶς ἂν ἤδη ἀγαθὸς μαστροπὸς εἴη; σαφῶς

efficiat, quibuſcum conſueſcit? Maxime vero, aiunt. An non igitur unum quiddam quo placeat, ex eo eſt, quod & capillorum, & veſtis ratio decori legem ſervet? Maxime vero.

58. Etiam ſcimus, poſſe hominem iiſdem oculis tum amice tum hoſtiliter aliquos intueri? Maxime. Quid vero? an non eadem voce licet tum verecunde tum audacter loqui? Maxime. Quid? nonne quidam ſermones odioſi ſunt, alii ad amicitiam impellunt? Maxime.

59. Ex his igitur quæcumque ad placendum conducunt, ea bonus leno ſuos docere debet? Maxime. Num autem potior is fuerit, qui uni reddere gratos poteſt, an vero qui pluribus? Heic in duas partes diviſis omnibus, alii manifeſtum eſſe dicebant, potiorem eſſe, qui plurimis: alii ſubjiciebant, Maxime.

60. Socrates quum hac etiam in parte convenire diceret: Quid ſi quis, inquit, ut toti civitati quidam placeant, efficere poſſit, an non omnino ille bonus leno fuerit? Id

σαφῶς γε νὴ Δία, πάντες εἶπον. οὐκοῦν εἴ τις τοιούτους δύναιτο ἐξεργάζεσθαι ὧν προστατοίη, δικαίως ἂν μέγα φρονοίη ἐπὶ τῇ τέχνῃ, καὶ δικαίως ἂν πολὺν μισθὸν λαμβάνοι;

ξα'. Επεὶ δὲ καὶ ταῦτα πάντες συνωμολόγουν· τοιοῦτος μέντοι, ἔφη, μοὶ δοκεῖ Αντισθένης εἶναι οὗτος. καὶ ὁ Αντισθένης· ἐμοὶ, ἔφη, παραδίδως, ὦ Σώκρατες, τὴν τέχνην; ναὶ μὰ Δί', ἔφη. ὁρῶ γάρ σε καὶ τὴν ἀκόλουθον ταύτης πάνυ ἐξειργασμένον. τίνα ταύτην; τὴν προαγωγείαν, ἔφη.

ξβ'. Καὶ ὃς μάλα ἀχθεσθεὶς ἐπήρετο· καὶ τί μοι σύνοισθα, ὦ Σώκρατες, τοιοῦτον εἰργασμένῳ; οἶδα μὲν, ἔφη, σὲ Καλλίαν τουτονὶ προαγωγεύσαντα τῷ σοφῷ Προδίκῳ, ὅτε ἑώρας τοῦτον μὲν φιλοσοφίας ἐρῶντα, ἐκεῖνον δὲ χρημάτων δεόμενον. οἶδα δέ σε, Ιππίᾳ τῷ Ηλείῳ, παρ' οὗ οὗτος καὶ τὸ μνημονικὸν ἔμαθεν· ἀφ' οὗ δὴ καὶ ἐρατικώτερος γεγένηται· διὰ τὸ

ὅ,τι

Id quidem manifeſtum eſt, aiunt omnes. Ergo ſi quis eos, quibus ipſe præſit, tales efficere ſtudio ſuo poſſit, an non optimo jure ob hanc artem elato ſit animo, atque etiam optimo jure mercedem debeat amplam accipere?

61. Quum his etiam univerſi adſenſi eſſent: Talis ſcilicet (inquit) eſt, mea quidem ſententia, hic Antiſthenes. Tum ille: Mihine tribuis, inquit, artem hanc Socrates? Profecto, ait. Nam te video etiam in hujus pediſſequa probe exercitum eſſe. Quænam illa eſt? Ars perductorum, ait.

62. Et graviter id ferens Antiſthenes: Ecquid, ait, tale me commiſiſſe ſcis, Socrates? Scio equidem, inquit, te Calliam hunc ad doctum illum Prodicum perduxiſſe: quum illum ardentem amore philoſophiæ cerneres, hunc vero pecunia indigentem. Scio item te perduxiſſe eumdem ad Hippiam Eleum, à quo etiam artem memoriæ didicit. Et ex eo quidem tempore magis amoribus eſſe deditus cœpit, quod

pulchri

ὅ, τι ἂν * καλὸν ἴδῃ, μηδέποτε ἐπιλανθάνεσθαι.

ξγ'. Εναγχος δὲ δήπου καὶ πρὸς ἐμὲ ἐπαινῶν τὸν Ἡρακλεώτην ξένον, ἐπεί με ἐποίησας ἐπιθυμεῖν αὐτοῦ, συνέστησάς μοι αὐτόν· καὶ χάριν μέντοι σοὶ ἔχω· πάνυ γὰρ καλὸς κἀγαθὸς δοκεῖ μοι εἶναι. Αἰσχύλον δὲ τὸν Φλιάσιον πρὸς ἐμὲ ἐπαινῶν, καὶ ἐμὲ πρὸς ἐκεῖνον, οὐχ οὕτω διέθηκας, ὥστε διὰ τοὺς σοὺς λόγους ἐρῶντες ἐκυνοδρομοῦμεν ἀλλήλους ζητοῦντες;

ξδ'. Ταῦτα οὖν ὁρῶν δυνάμενόν σε ποιεῖν, ἀγαθὸν νομίζω προαγωγὸν εἶναι. ὁ γὰρ οἷός τε ὢν γινώσκειν τε τοὺς ὠφελίμους αὐτῷ, καὶ τούτους δυναμένους ποιεῖν ἐπιθυμεῖν ἀλλήλων, οὗτος ἄν μοι δοκεῖ καὶ πόλεις δύνασθαι φίλας ποιεῖν, καὶ γάμους ἐπιτηδείους συνάγειν, καὶ πολλοῦ ἂν ἄξιος εἶναι καὶ πόλεσι, καὶ φίλοις, καὶ συμμάχοις κεκτῆσθαι. σὺ δέ μοι, ὡς κακῶς ἀκούσας, ὅτι ἀγαθόν σε ἔφην προαγωγὸν εἶναι, ὠργίσθης. ἀλλὰ μὰ Δί', ἔφη, οὐ νῦν. ἐὰν γὰρ ταῦτα δύνωμαι,

σεσαγμένος

pulchri quidquid viderit, ejus numquam obliviſcatur.

63. Nuper adeo quod, hoſpitem quoque Heracli enſem apud me prædicando, ubi effeceris ut ipſius cupidus eſſem, conciliaſti eum mihi: quo quidem nomine tibi gratiam habeo. Nam mihi per eſſe bonus honeſtuſque videtur. An non item Æſchylum illum Phliaſium apud me prædicando, meque apud ipſum, ita affeciſti, ut noſmet amantes mutuo, quæreremus curſitando, perinde atque canes ſolent?

64. Hæc quum ego te facere poſſe videam, bonum eſſe lenonem arbitror. Nam qui agnoſcere poteſt eos qui ſibi futuri ſunt utiles; ac poteſt efficere, ut illi ſe mutuo expetant: is mihi videtur & urbes amicitia conjungere poſſe, & nuptias commodas conciliare, utque magni vir pretii ſit, tũ apud civitates, tum amicos, tum ſocios, efficere. Et tu mihi, quaſi qui non ſatis recte audieris, quod te dixerim eſſe bonum perductorem, ſuccenſuiſti! Ego vero, ſubjecit ille, non jam amplius. Nam hæc ſi poſſim,

nimirum

σεσαγμένος δὴ παντάπασι πλούτῳ τὴν ψυχὴν ἔσομαι. καὶ αὕτη μὲν δὴ ἡ περίοδος τῶν λόγων ἀπετελέσθη.

ΚΕΦ. ε'.

Ὁ Δὲ Καλλίας εἶπε· σὺ δὲ δή, ὦ Κριτόβουλε, εἰς τὸν περὶ τοῦ κάλλους ἀγῶνα πρὸς Σωκράτην οὐκ ἀνθίστασαι; νὴ Δί', ἔφη ὁ Σωκράτης. ἴσως γὰρ εὐδοκιμοῦντα τὸν μαστροπὸν παρὰ τοῖς κριταῖς ὁρᾷ.

β'. Ἀλλ' ὅμως, ἔφη ὁ Κριτόβουλος, οὐκ ἀναδύομαι. ἀλλὰ δίδασκε, εἴ τι ἔχεις σοφόν, ὡς καλλίων εἶ ἐμοῦ. μόνον, ἔφη, τὸν λαμπτῆρα ἐγγύς τις προσενεγκάτω. εἰς ἀνάκρισιν τοίνυν σε, ἔφη, πρῶτον τῆς δίκης καλοῦμαι· ἀλλ' ἀποκρίνου. σὺ δέ γε ἐρώτα.

γ'. Πότερον οὖν ἐν ἀνθρώπῳ μόνον νομίζεις τὸ καλὸν εἶναι, ἢ καὶ ἐν ἄλλῳ τινί; ἐγὼ μέν, ναὶ μὰ Δί' (ἔφη) καὶ ἐν ἵππῳ, καὶ βοΐ, καὶ ἐν ἀψύχοις πολλοῖς.

οἶδα

nimirum animus meus divitiis conſtipatus erit. Atque hoc pacto colloquiorum circuitus abſolutus fuit.

CAP. V.

Callias autem: Sed tu Critobule, ait, in certamen adverſus Socratem de pulchritudine non deſcendis: Non profecto, ait Socrates. Nam fortaſſe lenonem apud judices magna eſſe in exiſtimatione videt.

2. Nihilominus ego, ſubjecit Critobulus, non recuſo. Doceto autem me ſi quid habes doctrinæ, te pulchriorem eſſe quam ego ſim. Tantum, ait, lucernam aliquis propius adferat. Primum ad cauſſæ te inquiſitionem provoco: Tu mihi reſpondeto: At tu interrogato.

3. Utrum igitur pulcritudinem in homine tantum exiſtimas eſſe, an etiam in aliqua re alia? Profecto, ait, mea quidem ſententia, eſt etiam in equo, & bove, & multis rebus inanimis.

Nam

οἶδα γοῦν οὖσαν καὶ ἀσπίδα καλὴν, καὶ ξίφος, καὶ δόρυ.

δ'. Καὶ πῶς, ἔφη, οἷόν τε ταῦτα μηδὲν ὅμοια ὄντα ἀλλήλοις, πάντα καλὰ εἶναι; Ἢν νὴ Δί', ἔφη, πρὸς τὰ ἔργα, ὧν ἕνεκα ἕκαστα κτώμεθα, εὖ εἰργασμένα ᾖ, ἢ εὖ πεφυκότα πρὸς ἃ ἂν δεώμεθα· καὶ ταῦτ', ἔφη ὁ Κριτόβουλος, καλά.

ε'. Οἶσθα οὖν, ἔφη, ὀφθαλμῶν τίνος ἕνεκα δεόμεθα; Δῆλον, ἔφη, ὅτι τοῦ ὁρᾶν. Οὕτω μὲν τοίνυν ἤδη ἐμοὶ ὀφθαλμοὶ καλλίονες ἂν τῶν σῶν εἴησαν. Πῶς δή; Ὅτι οἱ μὲν σοὶ τὸ κατευθὺ μόνον ὁρῶσιν, οἱ δὲ ἐμοὶ καὶ τὸ ἐκ πλαγίου, διὰ τὸ ἐπιπόλαιοι εἶναι. Λέγεις σὺ, ἔφη, καρκίνον εὐοφθαλμότατον εἶναι τῶν ζώων; Πάντως δήπου, ἔφη· ἐπεὶ καὶ πρὸς ἰσχὺν τοὺς ὀφθαλμοὺς ἄριστα πεφυκότας ἔχει.

ϛ'. Εἶεν, ἔφη. Τῶν δὲ ῥινῶν ποτέρα καλλίων, ἡ σὴ, ἢ ἡ ἐμή; Ἐγὼ μὲν, ἔφη, οἶμαι τὴν ἐμὴν, εἴ πέρ γε τοῦ ὀσφραίνεσθαι ἕνεκεν ἐποίησαν ἡμῖν ῥῖνας οἱ θεοί.

οἱ

Nam & ſcutum eſſe pulchrum ſcio, & gladium & haſtam.

4. Et qui fieri poteſt, ait, quæ invicem ſibi nulla ſunt re ſimilia, eſſe omnia pulchra? Si ad opera, quorum cauſſa nos ea ſingula paravimus, bene fuerint elaborata, vel apta ſatis à natura illis uſibus, quibus ſerviunt: & ipſa pulchra ſunt, inquit Critobulus.

5. Noſti ergo, cui nobis uſui ſit oculus? Ei ſcilicet, ait, ut videamus. Hoc igitur pacto tuis pulchriores oculi mei fuerint. Qui ſic? Nam tui tantum directo adſpiciunt, mei etiam tranſverſim, propterea quod exterius promineant. Ergo tu cancrum ais inter animalia cuncta præditum eſſe oculis optimis? Maxime vero, inquit. Nam habet oculos à natura egregie ad robur etiam comparatos.

6. Eſto ſane, ait. At uter naſus, meuſne, an tuus, eſt pulchrior? Equidem, ait, meum eſſe pulchriorem arbitror: ſi quidem odores percipiendi cauſſa Dii nobis nares condiderunt.

Nam

οἱ μὲν γὰρ σοὶ μυκτῆρες εἰς γῆν ὁρῶσιν, οἱ δὲ ἐμοὶ ἀναπέπτανται, ὥστε τὰς πάντοθεν ὀσμὰς προσδέχεσθαι. τὸ δὲ δὴ σιμὸν τῆς ῥινὸς πῶς τοῦ ὀρθοῦ κάλλιον; ὅτι, ἔφη, οὐκ ἂν φράττει, ἀλλ᾽ εὐθὺς ἐᾷ τὰς ὄψεις ὁρᾷν, ἃ ἂν βούλωνται. ἡ δὲ ὑψηλὴ ῥὶς, ὥσπερ ἐπηρεάζουσα, διατετείχικε τὰ ὄμματα.

ζ'. Τοῦ γε μὴν στόματος, ἔφη ὁ Κριτόβουλος, ὑφίεμαι· εἰ γὰρ τοῦ ἀποδάκνειν ἕνεκα πεποίηται, πολὺ ἂν σὺ μεῖζον ἢ ἐγὼ ἀποδάκοις. διὰ δὲ τὸ παχέα ἔχειν τὰ χείλη, οὐκ οἴει καὶ μαλακώτερόν σου ἔχειν τὸ φίλημα; ἔοικα (ἔφη) ἐγὼ, κατὰ τὸν σὸν λόγον, καὶ τῶν ὄνων αἴσχιον τὸ στόμα ἔχειν. ἐκεῖνο δὲ οὐδὲν τεκμήριον λογίζῃ, ὡς ἐγώ σου καλλίων εἰμὶ, ὅτι καὶ Ναΐδες θεαὶ οὖσαι τοὺς Σειληνοὺς ἐμοὶ ὁμοιοτέρους τίκτουσιν, ἢ σοί;

η'. Καὶ ὁ Κριτόβουλος· οὐκέτι, ἔφη, ἔχω πρός σε ἀντιλέγειν. ἀλλὰ διαφερόντων, ἔφη, τὰς ψήφους, ἵνα

Nam meatus narium tui terram verſus ſpectant, mei vero ſurſum expanſi ſunt: quo fit, ut ab omni parte odores recipere poſſint. Naſus autem ſimus quomodo recto poteſt eſſe pulchrior? Quia nihil eſt, ait, quod obſepiat, ſed permittit, ut oculi mox, quæ velint, videant. At naſus ſublimior, quaſi ſi faciat id per injuriam, ſepimento quodam oculos diſiungit.

7. Quod os autem adtinet, ait Critobulus, equidem tibi cedo. Nam ſi mordendi cauſſa factum eſt, longe tu majus aliquid morſu avellere poſſis, quam ego. At vero quia tibi labra ſunt craſſa, non meum putas oſculum eſſe mollius? Videor, inquit, uti tu quidem prædicas, etiam aſinis os habere turpius. Sed enim non exiſtimas argumentum illud eſſe ſatis magnum, me pulchritudine te ſuperare, quod & Naides, quæ Divæ ſunt, Silenos pariant, mihi quam tibi ſimiliores.

8. Non poſſum, inquit Critobulus, amplius contradicere. Itaque diſtribuantur ſane calculi, ut

ἵνα ὡς τάχιστα εἰδῶ ὅ,τι με χρὴ παθεῖν ἢ ἀποτίσαι. μόνον, ἔφη, κρυφῆ φερόντων. δέδοικα γὰρ τὸν σὸν καὶ Αντισθένους πλοῦτον, μή με καταδυναστεύσῃ.

θ'. Η μὲν δὴ παῖς, καὶ ὁ παῖς κρύφα ἀνέφερον. ὁ δὲ Σωκράτης ἐν τούτῳ διέπραττε τόν τε λύχνον ἀντιπροσενεγκεῖν τῷ Κριτοβούλῳ ὡς μὴ ἐξαπατηθείησαν οἱ κριταὶ, καὶ τῷ νικήσαντι μὴ ταινίας, ἀλλὰ φιλήματα, ἀναδήματα παρὰ τῶν κριτῶν γενέσθαι.

ί. Επεὶ δὲ ἐξέπεσον αἱ ψῆφοι, καὶ ἐγένοντο πᾶσαι σὺν Κριτοβούλῳ· Παπαὶ, ἔφη ὁ Σωκράτης, οὐχ ὅμοιον ἔοικε τὸ σὸν ἀργύριον, ὦ Κριτόβουλε, τῷ Καλλίου εἶναι; τὸ μὲν γὰρ τούτου δικαιοτέρους ποιεῖ, τὸ δὲ σὸν, ὥσπερ τὸ πλεῖστον, διαφθείρειν ἱκανόν ἐστι καὶ δικαστὰς καὶ κριτάς.

ΚΕΦ.

ut quam primum ſciam, quid me vel perpeti, vel exſolvere oporteat. Modo (ait) clanculum eos ferant. Nam tuas & Antiſthenis opes metuo, ne me copia ſua opprimant.

9. Puella igitur & puer clanculum ferebant. Interim Socrates perficiebat, ut lucerna Critobulo admoveretur, ne deciperentur judices: atque etiam ut victori non faſciæ, ſed oſcula corollarum loco à judicibus decernerentur.

10. Poſteaquam ejecti eſſent calculi, atque omnes pro Critobulo facerent: Papæ, ait Socrates, argentum tuum non videtur eſſe argento Calliæ ſimile, mi Critobule. Nam quod ille habet, juſtiores reddit homines: tuum vero, quemadmodum alioqui argentum maxima ex parte, tum judices tum diſceptatores corrumpere poteſt.

CAP.

ΚΕΦ. ς'.

Ἐκ δὲ τούτου οἱ μὲν τὰ νικητήρια φιλήματα ἀπολαμβάνειν τὸν Κριτόβουλον ἐκέλευον, οἱ δὲ τὸν κύριον πείθειν, οἱ δὲ καὶ ἄλλα ἔσκωπτον. ὁ δὲ Ἑρμογένης κἀνταῦθα ἐσιώπα. καὶ ὁ Σωκράτης ὀνομάσας αὐτόν· ἔχοις ἂν, ὦ Ἑρμόγενες, εἰπεῖν ἡμῖν, τί ἐστι παροινία; καὶ ὃς ἀπεκρίνατο· εἰ μὲν ὅ,τι ἐστὶν, ἐρωτᾷς, οὐκ οἶδα. τὸ μέντοι μοι δοκοῦν εἴποιμ' ἄν. ἀλλὰ δοκεῖ τοῦτ', ἔφη.

β'. Τὸ τοίνυν παρ' οἶνον λυπεῖν τοὺς συνόντας, τοῦτ' ἐγὼ κρίνω παροινίαν. οἶσθ' οὖν, ἔφη, ὅτι καὶ σὺ νῦν ἡμᾶς λυπεῖς σιωπῶν. ἢ καὶ ὅταν λέγητ'; ἔφη. οὐκ, ἀλλ' ὅταν διαλίπωμεν. ἢ οὖν λέληθέ σε, ὅτι μεταξὺ τοῦ ὑμᾶς λέγειν, οὐδ' ἂν τρίχα, μὴ ὅτι λόγον ἄν τις παρείρειε;

γ'. Καὶ ὁ Σωκράτης, ὦ Καλλία, ἔχοις ἄν τι, ἔφη, ἀνδρὶ

ἐλεγχομένῳ

CAP. VI.

SEcundum hæc alii Critobulum hortabantur, ut oſcula victoriæ præmia acciperet, alii, ut perſuaderet prius eum, cujus eſſent in poteſtate: alii aliter jocabantur. Interim ſilebat Hermogenes. Quo nominatim Socrates compellato: Poſſiſne dicere nobis, ait, Hermogenes, quid ſit παροινία; Et ille: ſi quæras quid ſit, inquit, nihil mihi conſtat: quid autem eſſe videatur, dicere forte poſſim. Id placet, ait Socrates.

2. Ego igitur eſſe judico παροινίαν, in vino moleſtum eſſe iis quibuſcum verſeris. Ergo ſcire debes, ait Socrates, te quoque ſilendo nobis jam moleſtiam exhibere. Num etiam quando loquimini? Non, ſed quum intermittimus. Te vero fugit, ne pilum quidem, ne dum ſermonem aliquem interea, dum vos loquimini, interjici à quoquam poſſe?

3. Tum Socrates: Poſſiſne alicui Callia, inquit, qui coarguitur,

ἐλεγχομένῳ βοηθῆσαι; ἔγωγ', ἔφη· ὅταν καὶ ὁ αὐλὸς φθέγγηται, παντάπασι σιωπῶμεν. καὶ ὁ Ερμογένης· ἦ οὖν βούλεσθε, ἔφη, ὥσπερ Νικόστρατος ὁ ὑποκριτὴς τετράμετρα πρὸς τὸν αὐλὸν κατέλεγεν, οὕτω καὶ ὑπὸ τὸν αὐλὸν ὑμῖν διαλέγωμαι;

δ'. Καὶ ὁ Σωκράτης· πρὸς τῶν θεῶν, ἔφη, Ερμόγενες, οὕτω ποίει. οἶμαι γὰρ, ὥσπερ ἡ ᾠδὴ ἡδίων πρὸς τὸν αὐλὸν, οὕτω καὶ τοὺς σοὺς λόγους ἡδύνεσθαι ἄν τι ὑπὸ τῶν φθόγγων· ἄλλως τε καὶ εἰ μορφάζοις, ὥσπερ ἡ αὐλητρὶς, καὶ σὺ πρὸς τὰ λεγόμενα.

ε'. Καὶ ὁ Καλλίας ἔφη· ὅταν οὖν Αντισθένης ὅδ' ἐλέγχῃ τινὰ ἐν τῷ συμποσίῳ, τί ἔσται τὸ αὔλημα; καὶ ὁ Αντισθένης εἶπε· τῷ μὲν ἐλεγχομένῳ οἶμαι ἂν (ἔφη) πρέπειν συρισμόν.

ϛ'. Τοιούτων δὲ λόγων ὄντων, ὡς ἑώρα ὁ Συρακόσιος τῶν μὲν αὑτοῦ ἀποδειγμάτων ἀμελοῦντας, ἀλλήλοις δὲ ἡδομένους, φθονῶν τῷ Σωκράτει εἶπεν· ἆρα σὺ, ὦ Σώκρατες,

guitur, ſuccurrere? Poſſim equidem, ait. Nam quum tibia ſonum edit, prorſus ſilemus. Et Hermogenes: Vultiſne igitur, ait, ut quemadmodum Nicoſtratus hiſtrio ad tibiam tetrametra recitabat, ita & ipſe, dum tibia ſonat, vobiſcum colloquar?

4. Sic facito, quæſo, mi Hermogenes, inquit Socrates. Arbitror enim perinde, ut cantus ad tibiam adhibitus jucundior eſt, ita etiam futurum, ut ſermones tui à ſonis illis nonnihil ſuaviores reddantur: præſertim ſi geſtum aliquem addas ad ea quæ dicuntur abs te, id quod hæc fidicina facit.

5. Et Callias: Ergo quum Antiſthenes hic, ait, quemdam in convivio coarguerit, quis erit concentus tibiarum? Ei, qui coarguetur, ait Antiſthenes, convenire arbitror exſibilationem.

6. Hujuſmodi colloqui[illegible] quum haberentur, ac videret eos Syracuſanus illa quidem negligere, quæ ipſe exhiberet, mutuis autem ſermonibus ſe oblectare, Socrati invidens: Tune, ait, Socrates,

Σώκρατες, ὁ φροντιστὴς ἐπικαλούμενος; Οὐκοῦν κάλλιον, ἔφη, ἢ εἰ ἀφρόντιστος ἐκαλούμην; εἰ μή γε ἐδόκεις, τῶν μετεώρων φροντιστὴς εἶναι.

ζʹ. Οἶσθα οὖν, ἔφη ὁ Σωκράτης, μετεωρότερόν τι τῶν θεῶν; Ἀλλ' οὐ μὰ Δί', ἔφη, οὐ τούτων σε λέγουσιν ἐπιμελεῖσθαι, ἀλλὰ τῶν [ἀνωφελεστάτων]. Οὐκοῦν καὶ οὕτως ἄν, ἔφη, θεῶν ἐπιμελοίμην· [ἄνωθεν] μέν γε ὄντες [ὠφελοῦσιν], ἄνωθεν δὲ φῶς παρέχουσιν. εἰ δὲ ψυχρὰ λέγω, σὺ αἴτιος, ἔφη, πράγματά μοι παρέχων.

ηʹ. Ταῦτα μὲν, ἔφη, ἔα· ἀλλ' εἰπέ μοι, πόσους ψύλλα πόδας ἐμοῦ ἀπέχει· ταῦτα γάρ σε φασὶ γεωμετρεῖν. καὶ ὁ Αντισθένης εἶπε· σὺ μέν τοι δεινὸς εἶ, ὦ Φίλιππε, εἰκάζειν. οὐ δοκεῖ σοι ὁ ἀνὴρ οὗτος λοιδορεῖσθαι βουλομένῳ ἐοικέναι; ναὶ μὰ τὸν Δί', ἔφη, καὶ ἄλλοις γε πολλοῖς.

θʹ. Ἀλλ' ὅμως, ἔφη ὁ Σωκράτης, σὺ αὐτὸν μὴ εἴκαζε, ἵνα μὴ καὶ σὺ λοιδορουμένῳ ἐοίκῃς. ἀλλ' εἴπερ

γέ

Socrates, ille ipſe es, quem meditatorem vocant? An non pulchrius hoc eſt, inquit, quam ſi vocarer incogitans? Niſi ſublimium meditator eſſe videreris.

7. Num ergo quidquam noſti, ait Socrates, quod Diis ſit ſublimius? Minime vero te iſtis occupari aiunt, ſed rebus maxime *ſupervacaneis*. Ergo ſic etiam, inquit, Dii mihi curæ ſunt. Nam illi, quum *ſupra* ſint, noſtro *vacant* commodo, & de ſublimi lucem ſuppeditant. Quod ſi frigida profero, tu auctor es, qui negotium mihi faceſſis.

8. Tu vero, inquit alter, mitte iſta, ac dicito mihi, quot pedes abſit à me pulex: Nam hæc metiri te aiunt. Tum Antiſthenes: Enimvero Philippe, ait, tu in conjectando acutus es: an non videtur hic homo tibi ſimilis illi eſſe, qui convicium facere velit? Profecto, inquit, aliis etiam multis.

9. Tu tamen, ait Socrates, nulli eum ſimilem facito, ne & ipſe conviciũ facienti ſimilis videare. Verũ

ſi

γέ τοι τοῖς πᾶσι καλοῖς καὶ τοῖς βελτίστοις εἰκάζω αὐτὸν, ἐπαινοῦντι μᾶλλον ἢ λοιδορουμένῳ δικαίως ἂν εἰκάζοι με τις. καὶ νῦν σύ γε λοιδορουμένῳ ἔοικας, εἰ πάντ' αὐτοῦ βελτίονα φὴς εἶναι.

ιʹ. Ἀλλὰ βούλει, πονηροτέροις εἰκάζω αὐτόν; μηδὲ πονηροτέροις. ἀλλὰ μηδενί; μηδενὶ μηδὲ τούτων εἴκαζε. ἀλλ' οὐ μέντοι γε σιωπῶν οἶδα ὅπως ἄξια τοῦ δείπνου ἐργάσομαι. καὶ ῥᾳδίως γ' ἂν, ἃ μὴ δεῖ λέγειν (ἔφη) σιωπᾷς, αὕτη μὲν δὴ ἡ παροινία οὕτω κατεσβέσθη.

ΚΕΦ. ζʹ.

ΕΚ τούτου δὲ τῶν ἄλλων οἱ μὲν ἐκέλευον εἰκάζειν, οἱ δὲ ἐκώλευον. θορύβου δὲ ὄντος, ὁ Σωκράτης αὖ πάλιν εἶπεν· ἆρα ἐπειδὴ πάντες ἐπιθυμοῦμεν λέγειν, νῦν ἂν μάλιστα καὶ ἅμα ᾄσαιμεν; καὶ εὐθὺς τοῦτ' εἰπὼν ἦρχεν ᾠδῆς.

βʹ. Ἐπεὶ

ſi honeſtis & optimis quibuſque ſimilem eum fecero, merito quis me laudanti potius quam convicianti ſimilem dixerit. Atqui tu convicianti es ſimilis, ſi eum præſtare dicis in omnibus.

10. Vis igitur magis perverſis eum comparem? Ne illis quidem. Nulli ergo? Nulli ne horum quidem eum ſimilem dixeris. Atqui neſcio quo pacto, ſi taceam, digna hoc convivio facturus ſim. Facilius fuerit tacere, ait, quam non dicenda proferre. Atque hæc quidem in vino rixa ſic extincta fuit.

CAP. VII.

POſt hæc alii pergere jubebant in comparando, alii vetabant. Quumque tumultus eſſet exortus, rurſum loqui Socrates incipiebat. Num quia cuncti loqui cupimus, etiam una cecinerimus? Et quumprimum id dixiſſet, cantilenam ordiebatur.

2. Ubi

β'. Ἐπεὶ δ' ᾖσεν, εἰσεφέρετο τῇ ὀρχηστρίδι τροχὸς τῶν κεραμεικῶν, ἐφ' οὗ ἔμελλε θαυμασιουργήσειν. ἔνθα δὴ εἶπεν ὁ Σωκράτης· ὦ Συρακόσιε, κινδυνεύσω ἐγώ, ὥσπερ σὺ λέγεις, τῷ ὄντι φροντιστὴς εἶναι. νῦν οὖν σκοπῶ, ὅπως ἂν ὁ μὲν παῖς ὅδε ὁ σὸς καὶ ἡ παῖς ἥδε ὡς ῥᾷστα διάγοιεν, ἡμεῖς δ' ἂν μάλιστα εὐφραινοίμεθα, θεώμενοι αὐτούς· ὅπερ εὖ οἶδα ὅτι καὶ σὺ βούλει.

γ'. Δοκεῖ οὖν μοι τὸ μὲν εἰς μαχαίρας κυβιστᾶν κινδύνου ἐπίδειγμα εἶναι, ὃ συμποσίῳ οὐδὲν προσήκει. καὶ μὴν τόγε ἐπὶ τοῦ τροχοῦ ἅμα περιδινουμένου γράφειν τε καὶ ἀναγιγνώσκειν, θαῦμα μὲν ἴσως τι ἐστὶν, ἡδονὴν δὲ οὐδὲ ταῦτα δύναμαι γνῶναι τίν' ἂν παράσχοι. οὐδὲ μὴν τόγε διαστρέφοντας τὰ σώματα καὶ τροχοὺς μιμουμένους ἥδιον, ἢ ἡσυχίαν ἔχοντας τοὺς καλοὺς καὶ ὡραίους θεωρεῖν.

δ'. Καὶ γὰρ δὴ οὐδὲ πάνυ τι σπάνιον τό γε θαυμασίοις ἐντυχεῖν, εἴ τις τούτου δεῖται· ἀλλ' ἔξεστιν αὐτίκα μάλα

τὰ

2. Ubi ceciniſſet, illata eſt ſaltatrici rota ex earum genere quibus utuntur figuli, in qua miranda quædam exhibitura erat. Tum Socrates: Periculum erit, mi Syracuſane, inquit, ne quemadmodum tu ais, ſim revera meditator. Nunc enim conſidero, quo pacto puero huic tuo & huic puellæ optime poſſit eſſe, ac nos eos ſpectando voluptatis plurimum capiamus: quod quidem ſat ſcio te quoque velle.

3. Videtur ergo mihi, provolutionem in caput, quæ fit ſuper gladios, exhibitionem eſſe periculi, à convivio alienam. Quod vero etiam in rota circumvoluta ſcribit ac lectitat, eſt illud quidem certe miraculum quoddam: verum intelligere non poſſum, quam etiam hæc voluptatem ſuppeditent. Nec item jucundius eſt formoſos & elegantes ſpectare, quum corpora torquent, & rotas imitantur, quam ubi quieſcunt.

4. Etenim non admodum rarum eſt, in hæc admiratione digna incidere, ſi quis hoc deſideret: ſed licet ſtatim admiremur

τὰ παρόντα θαυμάζειν, τί ποτε ὁ μὲν λύχνος, διὰ τὸ λαμπρὰν φλόγα ἔχειν, φῶς παρέχει· τὸ δὲ χαλκεῖον λαμπρὸν ὄν, φῶς μὲν οὐ ποιεῖ, ἐν αὑτῷ δὲ ἄλλα ἐμφαινόμενα παρέχεται. καὶ πῶς τὸ μὲν ἔλαιον ὑγρὸν ὄν, αὔξει τὴν φλόγα· τὸ δὲ ὕδωρ, ὅτι ὑγρόν ἐστι, κατασβέννυσι τὸ πῦρ. ἀλλὰ γὰρ καὶ ταῦτα μὲν οὐκ εἰς ταὐτὸν τῷ οἴνῳ ἐκσπεύδει.

ε'. Εἰ δὲ ὀρχοῖντο πρὸς τὸν αὐλὸν σχήματα, ἐν οἷς χάριτές τε, καὶ ὧραι, καὶ νύμφαι γράφονται, πολὺ ἂν οἶμαι αὐτούς γε ῥᾷον διάγειν, καὶ τὸ συμπόσιον πολὺ ἐπιχαριτώτερον εἶναι. ὁ οὖν Συρακόσιος· Ἀλλὰ ναὶ μὰ τὸν Δί', ἔφη, ὦ Σώκρατες, καλῶς τε λέγεις, καὶ ἐγὼ εἰσάξω θεάματα ἐφ' οἷς ὑμεῖς εὐφρανεῖσθε.

ΚΕΦ. η'.

Ὁ Μὲν δὴ Συρακόσιος ἐξελθὼν συνεκροτεῖτο, ὁ δὲ Σωκράτης πάλιν αὖ καινοῦ λόγου κατῆρχεν·

ἆρ',

mur ea quæ adſunt, quonam modo lucerna, quod flammam ſplendidam habeat, lumen ſuppeditet, quum ahenum, & ipſum ſplendens, lucem id quidem non emittat, ſed in ſe tamen alia adparentia exhibeat. Quo pacto oleum, quum humidum ſit, flammam augeat, quum aqua, & ipſa humida, ignem extinguat. Verum ne hæc quidem eadem efficiunt quæ vinum.

5. At ſi ad tibiam formis iis ſaltarent, quibus tum Gratiæ, tum anni tempora, Nymphæque pinguntur: multo id ipſis facilius futurum arbitrater, ac longe convivium hoc fore hilarius ac gratius. Et Syracuſanus ille: Profecto, inquit, mi Socrates, recte dicis, & introducam ergo ſpectacula, quæ delectationem vobis ſunt adlatura.

CAP. VIII.

Quapropter egreſſus Syracuſanus ad agenda ſe componebat, & Socrates novum orationis exordium inſtituebat:

Profecto,

ἆρ', ἔφη, ὦ ἄνδρες, εἰκὸς ἡμᾶς παρόντος δαίμονος μεγάλου, καὶ τῷ μὲν χρόνῳ ἰσήλικος τοῖς ἀειγενέσι θεοῖς, τῇ δὲ μορφῇ νεωτάτου, καὶ μεγέθει πάντα ἐπέχοντος, ψυχῇ δὲ ἀνθρώπου ἰσουμένου, Ερωτος, μὴ ἀμνημονῆσαι, ἄλλως τε καὶ ἐπειδὴ πάντες ἐσμὲν τοῦ θεοῦ τούτου θιασῶται.

β'. Εγώ τε γὰρ οὐκ ἔχω χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ἐρῶν τινος διατελῶ· Χαρμίδην δὲ τόνδε οἶδα πολλοὺς μὲν ἐραστὰς κτησάμενον, ἔστι δὲ ὧν καὶ αὐτὸν ἐπιθυμήσαντα. Κριτόβουλός γε μὴν, καὶ ἐρώμενος ὢν, ἤδη ἄλλων ἐπιθυμεῖ.

γ'. Αλλὰ μὴν καὶ ὁ Νικήρατος, ὡς ἐγὼ ἀκούω, ἐρῶν τῆς γυναικὸς ἀντερᾶται. Ερμογένη γε μὴν τίς ἡμῶν οὐκ οἶδεν ὡς ὅ,τι ποτ' ἐστὶν ἡ καλοκἀγαθία, τῷ ταύτης ἔρωτι κατατήκεται; οὐχ ὁρᾶτε, ὡς σπουδαῖαι μὲν αὐτοῦ αἱ ὀφρύες, ἀτρεμὲς δὲ τὸ ὄμμα, μέτριοι δὲ οἱ λόγοι, πραεῖα δὲ ἡ φωνὴ, ἱλαρὸν δὲ τὸ ἦθος; τοῖς δὲ σεμνοτάτοις θεοῖς φίλοις χρώμενος, οὐδὲν ἡμᾶς τοὺς ἀνθρώπους ὑπερορᾷ.

δ'. Σὺ

Profecto, viri, par eſt nos, quum magnus quidam Deus adſit, qui ætate Deos æternos æquat, forma maxime juvenis eſt, amplitudine ſua cuncta ſuſtinet, animo hominibus æqualis eſt, nimirum Amor, ejus minime obliviſci: præſertim quum omnes in ejus Dei ſacris ſodales ſimus.

2. Nam equidem tempus aliquod commemorare non poſſum, quo non aliquo ſemper amore fuerim occupatus: & Charmidem hunc ſcio multos amatores habere, ac nonnullos ab ipſo quoque expeti. Critobulus certe, quum adametur, jam & ipſe alios amore complectitur.

3. Quinetiam Niceratus, ut equidem accepi, uxorem amans, viciſſim ab ea diligitur. Quis autem noſtrûm neſcit, Hermogenem honeſtatis amore, quidquid tamdem ea ſit, contabeſcere? Non videtis, quam ſevera ſint ſupercilia, oculi immoti, oratio moderata, vox lenis, mores hilares? quumq; Deos, qui maxime nobis venerandi ſunt, amicos habeat: nos tamen, qui homines ſumus, non contemnit.

δ'. Σὺ δὲ μόνος, ὦ Ἀντίσθενες, οὐδενὸς ἐρᾷς; καὶ μὰ τοὺς θεούς, εἶπεν ἐκεῖνος, καὶ σφόδρα γε σοῦ. καὶ ὁ Σωκράτης ἐπισκώψας, ὡς δὴ θρυπτόμενος, εἶπε· μὴ νῦν μοι ἐν τῷ παρόντι ὄχλον πάρεχε· ὡς σὺ γὰρ ὁρᾷς, ἄλλα πράττω.

έ. Καὶ ὁ Ἀντισθένης ἔλεξεν· ὡς σαφῶς μέντοι σὺ μαστροπὲ σαυτοῦ ἀεὶ τοιαῦτα ποιεῖς. τοτὲ μὲν τὸ δαιμόνιον προφασιζόμενος οὐ διαλέγῃ μοι, τοτὲ δ' ἄλλου του ἐφιέμενος.

ϛ'. Καὶ ὁ Σωκράτης ἔφη· πρὸς τῶν θεῶν, ὦ Ἀντίσθενες, μόνον μὴ συγκόψῃς με· τὴν δ' ἄλλην χαλεπότητα ἐγώ σου καὶ φέρω καὶ οἴσω φιλικῶς. ἀλλὰ γὰρ, ἔφη, τὸν μὲν σὸν ἔρωτα κρύπτωμεν, ἐπειδὴ καὶ ἔστιν οὐ ψυχῆς, ἀλλ' εὐμορφίας τῆς ἐμῆς.

ζ'. Οτι γε μὴν σὺ, ὦ Καλλία, ἐρᾷς Αὐτολύκου, πᾶσα μὲν ἡ πόλις οἶδε, πολλοὺς δ' οἶμαι καὶ τῶν ξένων. τούτου δ' αἴτιον τὸ πατέρων τε ὀνομαστῶν ἀμφοτέρους ὑμᾶς εἶναι, καὶ αὐτοὺς ἐπιφανεῖς.

η'. Ἀεὶ

4. Tu vero, Antiſthenes, ſolus neminem amas? Immo te vehementer amo profecto. Tum jocando Socrates quaſi blandiens: Ne in præſentia mihi, ait, moleſtus ſis. Nam, uti vides, aliud ago.

5. Et Antiſthenes: Quam tu, inquit, leno tui ſemper hujuſmodi plane quædam facis, ac nonnumquam mecum non colloqueris, numinis utens prætextu, nonnumquam aliud quidpiam captans.

6. Tum Socrates: Quæſo te per Deos, mi Antiſthenes, ait, tantum ne concidas me: qui moleſtiam quamvis aliam abs te tum fero, tum laturus ſum amice. Enimvero amorem tuum equidem occulto, quum non animi ſit, ſed pulchritudinis meæ.

7. Quod autem tu, Callia, Autolycum ames, civitas univerſa novit; ac, ut arbitror, etiam exteri plerique. Ejus rei cauſſa eſt, quod uterque veſtrum parentes habeat claros, & ipſi quoque illuſtres ſitis.

8. Atque

η'. Ἀεὶ μὲν οὖν ἔγωγε ἠγάμην τὴν σὴν φύσιν, νῦν δὲ καὶ πολὺ μᾶλλον, ἐπεὶ ὁρῶ σε ἐρῶντα οὐχ ἁβρότητι χλιδαινομένου, οὐδὲ μαλακίᾳ θρυπτομένου, ἀλλὰ πᾶσιν ἐπιδεικνυμένου ῥώμην τε καὶ καρτερείαν καὶ ἀνδρείαν καὶ σωφροσύνην. τὸ δὲ τοιούτων ἐπιθυμεῖν, τεκμήριόν ἐστι καὶ τῆς τοῦ ἐρωμένου φύσεως.

θ'. Εἰ μὲν οὖν μία ἐστὶν Ἀφροδίτη, ἢ διτταὶ, οὐρανία τε καὶ πάνδημος, οὐκ οἶδα. καὶ γὰρ Ζεὺς ὁ αὐτὸς δοκῶν εἶναι, πολλὰς ἐπωνυμίας ἔχει. ὅτι γε μέντοι χωρὶς ἑκατέρᾳ βωμοί τε εἰσὶ, καὶ ναοὶ, καὶ θυσίαι, τῇ μὲν πανδήμῳ ῥᾳδιουργότεραι, τῇ δὲ οὐρανίᾳ ἁγνότεραι, οἶδα.

ι'. Εἰκάσαις δ' ἂν καὶ τοὺς ἔρωτας τὸν μὲν πάνδημον τῶν σωμάτων ἐπιπέμπειν, τὸν δ' οὐρανίαν, τῆς ψυχῆς τε καὶ τῆς φιλίας καὶ τῶν καλῶν ἔργων. ὑφ' οὗ δὴ καὶ σὺ, ὦ Καλλία, κατέχεσθαί μοι δοκεῖς ἔρωτος.

ια'. Τεκμαίρομαι δὲ τῇ τοῦ ἐρωμένου καλοκαγαθίᾳ, καὶ ὅτι σε ὁρῶ τὸν πατέρα αὐτοῦ παραλαμβάνοντα

8. Atque equidem indolem tuā ſemper admiratus ſum, ſed multo nunc magis, quum te illum amare video, qui non deliciis diffluit, neque præ mollitie langueſcit: ſed omnibus & robur, & tolerantiam, & fortitudinem, & temperantiam ſuam demonſtrat. Hujuſmodi vero expetere, argumentum eſt etiam ingenii ejus qui amatur.

9. Equidem num una ſit Venus, an duæ, Cæleſtis nimirum & Vulgaris, haud ſcio. Nam & Jupiter, qui unus eſſe videtur, cognomina multa habet. Diſtinctas quidem utrique Veneri eſſe aras, fana, ſacrificia; & Vulgari quidem neglectiora, Cæleſti puriora, ſcio.

10. Et conjicere licet, etiam amores, corporum quidem, à Vulgari illa immitti: animi vero, & amicitiæ, & actionum honeſtarum, à Cæleſti. Ac tu quidem, mi Callia, hoc ipſo amore mihi videris eſſe captus.

11. Argumento mihi eſt ejus, quem amas, honeſtas; quodque te video patrem ejus ad congreſſus

εἰς τὴν πρὸς τοῦτον συνουσίαν. οὐδὲν γὰρ τούτων ἐστὶν ἀπόκρυφον πατρὸς τῷ καλῷ τε κἀγαθῷ ἐραστῇ.

ιβʹ. Καὶ ὁ Ἑρμογένης εἶπε· νὴ τὴν Ἥραν, ἔφη, ὦ Σώκρατες, ἄλλα τέ σου πολλὰ ἄγαμαι, καὶ ὅτι νῦν ἅμα χαριζόμενος Καλλίᾳ, καὶ παιδεύεις αὐτὸν, οἷόν περ χρὴ εἶναι. νὴ Δί', ἔφη. ὅπως δὲ καὶ ἔτι μᾶλλον εὐφραίνηται, βούλομαι αὐτῷ μαρτυρῆσαι, ὡς καὶ πολὺ κρείττων ἐστὶν ὁ τῆς ψυχῆς, ἢ ὁ τοῦ σώματος ἔρως.

ιγʹ. Ὅτι μὲν γὰρ δὴ ἄνευ φιλίας συνουσία οὐδεμία ἀξιόλογος, πάντες ἐπιστάμεθα. φιλεῖν γε μὴν τῶν μὲν τὸ ἦθος ἀγαμένων ἀνάγκη ἰδία καὶ ἐθελουσία καλεῖται· τῶν δὲ τοῦ σώματος ἐπιθυμούντων πολλοὶ μὲν τοὺς τρόπους μέμφονται, καὶ μισοῦσι τὸν ἐρώμενον.

ιδʹ. Ἢν δὲ καὶ ἀμφότεροι στέρξωσι, τὸ μὲν τῆς ὥρας ἄνθος ταχὺ δήπου παρακμάζει, ἀπολείποντος δὲ τούτου ἀνάγκη καὶ τὴν φιλίαν συναπομαραίνεσθαι. ἡ δὲ ψυχὴ ὅσονπερ ἂν χρόνον ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα γίνεται.

ιεʹ. Καὶ

cum hoc tuos adjungere. Quippe nihil horum bonus & honeſtus amator occultum patri eſſe vult.

12. Et Hermogenes: Per Junonem, inquit, mi Socrates, cum ob alia te multa admiror, tum quod modo Calliæ ſimul rem gratam facis, & qualem ipſum eſſe oporteat, inſtituis. Profecto ſic eſt, ait. Atque ut magis etiam delectetur, confirmare illi volo, multo præſtantiorem eſſe animi quam corporis amorem.

13. Novimus enim omnes abſque amicitia conſuetudinem nullam cujuſquam eſſe pretii. Amare autem eos, quorum mores ac indolem admiramur, neceſſitudo quædam propria & voluntaria vocatur: at eorum, qui corpus adpetunt, multi mores vituperant, & ipſos amores odere.

14. Quod ſi maxime ament invicem uterque ſe, formæ tamen flos celeriter ætate quaſi marceſcit: quo deficiente, neceſſe eſt una etiam amicitiam marceſcere. Animus autem quamdiu prudentia proficit, etiam fit amabilior.

15. Quin

ιε΄. Καὶ μὴν ἐν μὲν τῇ τῆς μορφῆς χρήσει ἔνεστί τις καὶ κόρος, ὥστε ἅπερ καὶ πρὸς τὰ σιτία διὰ πλησμονὴν, ταῦτα ἀνάγκη καὶ πρὸς τὰ παιδικὰ πάσχειν. ἡ δὲ τῆς ψυχῆς φιλία, διὰ τὸ ἁγνὴ εἶναι, καὶ ἀκορεστοτέρα ἐστίν· οὐ μέντοι, ὥσγ' ἄν τις οἰηθείη, * διὰ τοῦτο καὶ ἐπαφροδιτοτέρα· ἀλλὰ σαφῶς καὶ ἀποτελεῖται ἡ εὐχὴ, ἐν ᾗ αἰτούμεθα τὴν θεὸν ἐπαφρόδιτα καὶ ἔπη καὶ ἔργα διδόναι.

ιϛ΄. Ὡς μὲν γὰρ ἀγαταῖ τε καὶ φιλεῖ τὸν ἐρώμενον θάλλουσα μορφῇ τε ἐλευθερίᾳ, καὶ ἤθει αἰδήμονί τε καὶ γενναίῳ ψυχὴ, εὐθὺς ἐν τοῖς ἥλιξιν ἡγεμονική τε ἅμα καὶ φιλόφρων οὖσα, οὐδὲν ἐπιδεῖται λόγου. ὅτι δὲ εἰκὸς καὶ ὑπὸ τῶν παιδικῶν τὸν τοιοῦτον ἐραστὴν ἀντιφιλεῖσθαι, καὶ τοῦτο διδάξω.

ιζ΄. Πρῶτον μὲν γὰρ τίς μισεῖν δύναιτ' ἂν, ὑφ' οὗ εἰδείη καλός τε καὶ ἀγαθὸς νομιζόμενος; ἔπειτα δὲ ὁρῴη αὐτὸν τὰ τοῦ παιδὸς καλὰ μᾶλλον, ἢ τὰ ἑαυτοῦ ἡδέα σπουδάζοντα; πρὸς δὲ τούτοις πιστεύῃ, μήτ' ἂν παρά τι ποιήσῃ, μήτ'

15. Quin & in uſu formæ ſatietas quædam ineſt. Quo fit, ut quæ in ciborum uſu propter ſatietatem, ea in amoribus quoque neceſſario accidant. At animi amor, propterea quod caſtus ſit, etiam inſatiabilior eſt; nec idcirco, ceu quis exiſtimare poſſet, minus eſt venuſtus ac jucundus: ſed plane votum illud perficitur, quo petimus, ut Dea tum verba, tum actiones venuſtas largiatur.

16. Quod enim liberali forma, & indole verecunda generoſaque florens animus, quique ſtatim inter æquales principe loco dignus, & comis eſt, tum ſuſpiciat, tum diligat amores ſuos; id vero verbis oſtendi non eſt opus. Eſſe autem conſentaneum, amatorem hujuſmodi rerum etiam ſuis amoribus gratum fore viciſſim, id quoque docebo.

17. Primum enim quis odiſſe poſſit illum à quo ſe bonum & honeſtum haberi ſciat? deinde quem cernat amati decora magis quam voluptates ſuas curare? credat præterea, ſive quid delinquatur, ſive

μήτ' ἂν καμὼν ἀμορφότερος γένηται, μειωθῆναι ἂν τὴν φιλίαν;

ιη'. Οἷς γε μὴν κοινὸν τὸ φιλεῖσθαι, πῶς οὐκ ἀνάγκη τούτους ἡδέως μὲν προσορᾷν ἀλλήλους, εὐνοϊκῶς δὲ διαλέγεσθαι, πιστεύειν δὲ καὶ πιστεύεσθαι, καὶ προνοεῖν μὲν ἀλλήλων; συνήδεσθαι δ' ἐπὶ ταῖς καλαῖς πράξεσι, συνάχθεσθαι δὲ ἤν τι σφάλμα προσπίπτῃ, τότε δ' εὐφραινομένους διατελεῖν, ὅταν ὑγιαίνοντες συνῶσιν· ἢν δὲ κάμῃ ὁποτεροσοῦν, πολὺ συνεχεστέραν τὴν συνουσίαν ἔχειν, καὶ ἀπόντων ἔτι μᾶλλον ἢ παρόντων ἐπιμελεῖσθαι; οὐ ταῦτα πάντα ἐπαφρόδιτα; διά γέ τοι τὰ τοιαῦτα ἔργα, ἅμα ἐρῶντες τῆς φιλίας καὶ χρώμενοι αὐτῇ εἰς γῆρας διατελοῦσι.

ιθ'. Τὸν δὲ ἐκ τοῦ σώματος κρεμάμενον διὰ τί ἀντιφιλήσειεν ἂν ὁ παῖς; πότερον ὅτι ἑαυτῷ μὲν νέμει ὧν ἐπιθυμεῖ, τῷ δὲ παιδὶ τὰ ἐπονειδιστότατα; ἢ διότι ἃ σπεύδει πράττειν πέρα τῶν παιδικῶν, εἴργει μάλιστα τοὺς οἰκείους ἀπὸ τούτων;

κ'. Καὶ

ſive morbo deformior factus ſit, amicitiam diminutam non iri?

18. Quibus autem communis amor eſt, quo pacto non hos neceſſe eſt libenter ſe intueri, benevole colloqui, fidem habere ſibi mutuo, proſpicere ſibi invicem, voluptatem ſimul capere ex honeſtis actionibus; condolere, ſi quid adverſi accidat; perpetuo gaudere, dum bona cum valetudine frui conſuetudine mutua poſſunt; ſin alteruter ægrotet, multo frequentius convenire; de abſentibus denique quam præſentibus, magis eſſe ſollicitum? An non hæc omnia ſunt amoris plena? Certe ob hujuſmodi officia ſimul & amicitiæ ſtudio tenentur, & ea perpetuo ad ſenectutem uſque fruuntur.

19. At eum, qui à corpore pendet, quamobrem diligat aliquis mutuo? utrum idcirco, quod ſibi tribuit ea quæ concupiſcit, adamato maxime probroſa? an quod ab iis, quæ facere ſtudioſe cupit præter amores, maxime neceſſarios arcet?

20. Atqui

κ'. Καὶ μὴν ὅτι γε οὐ βιάζεται, ἀλλὰ πείθει, διὰ τοῦτο μᾶλλον μισητέον. ὁ μὲν γὰρ βιαζόμενος, ἑαυτὸν πονηρὸν ἀποδεικνύει· ὁ δὲ πείθων, τὴν τοῦ ἀναπειθομένου ψυχὴν διαφθείρει.

κα'. Αλλὰ μὴν καὶ ὁ χρημάτων γε ἀπεμπολῶν τὴν ὥραν, τί μᾶλλον στέρξει τὸν πριάμενον, ἢ ὁ ἐν ἀγορᾷ πωλῶν καὶ ἀποδιδόμενος; οὐ μὴν ὅτι γε ὡραῖος ἀώρῳ, οὐδὲ ὅτι γε καλὸς οὐκέτι καλῷ, καὶ ἐρῶντι οὐκ ἐρῶν ὁμιλεῖ, φιλήσῃ αὐτόν. οὐδὲ γὰρ ὁ παῖς τῷ ἀνδρὶ ὥσπερ γυνὴ κοινωνεῖ τῶν ἐν τοῖς ἀφροδισίοις εὐφροσυνῶν, ἀλλὰ νήφων μεθύοντα ὑπὸ τῆς ἀφροδίτης θεᾶται.

κβ'. Εξ ὧν οὐδὲν θαυμαστὸν, εἰ καὶ τὸ ὑπερορᾶν ἐγγίγνεται αὐτῷ τοῦ ἐραστοῦ. καὶ σκοπῶν δ' ἄν τις, εὕροι ἐκ μὲν τῶν διὰ τοὺς τρόπους φιλουμένων οὐδὲν χαλεπὸν γεγενημένον, ἐκ δὲ τῆς ἀναιδοῦς ὁμιλίας πολλὰ ἤδη καὶ ἀνόσια πεπραγμένα.

κγ'. Ως δὲ καὶ ἀνελεύθερος ἡ συνουσία τῷ τὸ σῶμα μᾶλλον,

ἢ

20. Atqui magis etiam odio dignus eſt, quod non vim adferat, ſed perſuadeat. Nam qui vim adfert, improbum eſſe hominem ſeſe declarat: qui vero perſuadet, is illius qui perſuadetur, animum corrumpit.

21. Jam vero & is qui pecunia formam vendit, qui magis diliget ementem ſeſe, quam qui vendit in foro, & addicit ſeſe? Non enim certe, quod formoſus cum deformi, pulcher cum non pulchro, non amans cum amante verſatur, idcirco eum diliget. Non enim mas ita, uti mulier, voluptatum rei venereæ cum viro particeps eſt: ſed ſobrius ipſe temulentum ex venere ſpectat.

22. Unde non mirum eſt, ſi contemtus amatoris in ipſo exiſtit. Quod ſi quis rem conſideret, inveniet nihil rei gravis ex illorum amore, qui ob mores amantur, accidiſſe: quum multa, eaque nefaria, de illa impudenti conſuetudine evenerint.

23. Jam & illiberalem eſſe conſuetudinem illius, qui corpus

magis,

ἢ τὴν ψυχὴν ἀγαπῶντι, νῦν τοῦτο δηλώσω. ὁ μὲν γὰρ παιδεύων λέγειν τε ἃ δεῖ, καὶ πράττειν, δικαίως ἂν (ὥσπερ Χείρων καὶ Φοίνιξ ὑπ' Ἀχιλλέως) τιμῷτο. ὁ δὲ τοῦ σώματος ὀρεγόμενος εἰκότως ἂν ὥσπερ πτωχὸς περιέποιτο. ἀεὶ γάρ τοι προσαιτῶν καὶ προσδεόμενος ἢ φιλήματος, ἢ ἄλλου τινὸς ψηλαφήματος, παρακολουθεῖ.

κδ'. Εἰ δὲ λαμυρώτερον λέγω, μὴ θαυμάζετε. ὅ,τε γὰρ οἶνος συνεπαίρει, καὶ ὁ ἀεὶ σύνοικος ἐμοὶ ἔρως κεντρίζει εἰς τὸν ἀντίπαλον ἔρωτα αὐτῷ παρρησιάζεσθαι.

κε'. Καὶ γὰρ δὴ δοκεῖ μοι ὁ μὲν τῷ εἴδει τὸν νοῦν προσέχων, μεμισθωμένῳ χῶρον ἐοικέναι. οὐ γὰρ ὅπως πλείονος ἄξιος γένηται, ἐπιμελεῖται, ἀλλ' ὅπως αὐτὸς ὅτι πλεῖστα ὡραῖα καρπώσηται. ὁ δὲ τῆς φιλίας ἐφιέμενος, μᾶλλον ἔοικε τῷ τὸν οἰκεῖον ἀγρὸν κεκτημένῳ. πάντοθεν γοῦν φέρων ὅ,τι ἂν δύνηται, πλείονος ἄξιον ποιεῖ τὸν ἐρώμενον.

κϛ'. Καὶ

magis, quam animum diligit, modo indicabo. Nam qui aliquem inſtituit, ut & dicere, quæ neceſſe ſit, & gerere poſſit; is merito (perinde ac Chiro & Phœnix ab Achille) adfici honore debet. At qui corpus concupiſcit, merito mendici cujuſdam inſtar ſequatur. Semper enim comitatur vel emendicans, vel requirens, oſculum, aut aliquam aliam tactionem.

24. Quod ſi dicacius quid profero, velim mirum vobis non videatur. Nam & vinum me impellit, & amor ille meus domeſticus, ut liberius adverſus amorem illum loquar, quem æmulum habet, me pungit.

25. Videtur enim is mihi, qui formæ animum adjicit, ſimilis illi eſſe, qui fundum mercede conducit. Nam ille, ut melior reddatur, nihil penſi habet: ſed ut ipſe quam plurimum voluptatis ex eo percipiat. Qui vero amicitiam expetit, magis illi ſimilis eſt, qui fundum proprium poſſidet. Etenim undecumque, ſi quid poteſt, colligens, adamatum meliorem efficit.

26. Quin-

κϛ'. Καὶ μὴν καὶ τῶν παιδικῶν ὅσα ἂν μὲν εἰδῇ, ὅτι ὁ τοῦ εἴδους ἐπαρκῶν ἄρξει τοῦ ἐραστοῦ, εἰκὸς αὐτὸν τἆλλα ῥᾳδιουργεῖν. ὃς δ' ἂν γιγνώσκῃ, ὅτι ἂν μὴ καλὸς κἀγαθὸς ᾖ, οὐ καθέξει τὴν φιλίαν, τοῦτον προσήκει μᾶλλον ἀρετῆς ἐπιμελεῖσθαι.

κζ'. Μέγιστον δ' ἀγαθὸν τῷ ὀρεγομένῳ ἐκ παιδικῶν φίλον ἀγαθὸν ποιήσασθαι, ὅτι ἀνάγκη καὶ αὐτὸν ἀσκεῖν ἀρετήν. οὐ γὰρ οἷόν τε πονηρὰ αὐτὸν ποιοῦντα, ἀγαθὸν τὸν συνόντα ἀποδεῖξαι, οὐδέ γε ἀναισχυντίαν καὶ ἀκρασίαν παρεχόμενον, ἐγκρατῆ καὶ αἰδούμενον τὸν ἐρώμενον ποιῆσαι.

κη'. Ἐπιθυμῶ δέ σοι, ἔφη, ὦ Καλλία, καὶ μυθολογῆσαι, ὡς οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ θεοὶ, καὶ ἥρωες τὴν τῆς ψυχῆς φιλίαν περὶ πλείονος, ἢ τὴν τοῦ σώματος χρῆσιν ποιοῦνται.

κθ'. Ζεύς τε γὰρ ὅσων μὲν θνητῶν οὐσῶν μορφῆς ἠράσθη, συγγενόμενος εἴα αὐτὰς θνητὰς εἶναι· ὅσων δὲ ψυχὰς ἀγασθείη,

26. Quinetiam ipſos amores, qui ſciunt eleganti forma præditos amatoribus imperare, conſentaneum eſt nequiter in amantem ſe geſturos. At qui animadverterit non futurum, ut niſi bonus & honeſtus ſit, amicitiam retineat: eum par eſt, majori ſtudio virtutem colere.

27. Maximum autem bonum illi contingit, qui ex adamato amicum egregium efficere vult, quod & ipſum virtutem colere neceſſe ſit. Nec enim fieri poteſt, ut ſi ipſe nequiter ſe gerat, ſecum verſantem bonum efficiat: neque ſi intemperantem & impudentem illi ſe exhibeat, adamatum temperantem ac verecundum efficere poteſt.

28. Libet autem tibi, mi Callia, de fabularum etiam enarratione indicare, non ſolum homines, ſed etiam Deos ac heroas amorem animi pluris quam corporis uſum facere.

29. Jupiter enim cum omnibus, quas mortales dilexit, congreſſus, mortales manere paſſus eſt: quorum vero animos admi-

ἀγασθείη, ἀθανάτους τούτους ἐποίει. ὧν Ηρακλῆς μὲν, καὶ Διόσκουροι εἰσὶ, λέγονται δὲ καὶ ἄλλοι.

λ'. Καὶ ἐγὼ δέ φημι καὶ Γανυμήδην οὐ σώματος, ἀλλὰ ψυχῆς ἕνεκα ὑπὸ Διὸς εἰς Ολυμπον ἀνενεχθῆναι. μαρτυρεῖ δὲ καὶ τοὔνομα αὐτοῦ. ἔστι μὲν γὰρ δήπου ἐν Ομήρῳ,

—— [γάνυται] δέ τ' ἀκούων.

τοῦτο δὲ φράζει, ὅτι ἥδεται δέ τ' ἀκούων. ἔστι δὲ καὶ ἄλλοθί που.

—— πυκινὰ φρεσὶ [μήδεα] εἰδώς.

τοῦτο δ' αὖ λέγει, σοφὰ φρεσὶ βουλεύματα εἰδώς. ἐξ οὖν συναμφοτέρων τούτων οὐχ ἡδυσώματος ὀνομασθεὶς ὁ Γανυμήδης, ἀλλ' ἡδυγνώμων, ἐν θεοῖς τετίμηται.

λα'. Αλλὰ μὴν, ὦ Νικήρατε, καὶ Αχιλλεὺς Ομήρῳ πεποίηται οὐχ ὡς παιδικοῖς Πατρόκλῳ, ἀλλ' ὡς ἑταίρῳ ἀποθανόντι ἐκπρεπέστατα τιμωρῆσαι. καὶ Ορέστης δὲ, καὶ Πυλάδης,

καὶ

ratus eſſet, eos immortales faciebat. Eorum in numero ſunt Hercules, Caſtor, Pollux; atque etiam alii quidam commemorantur.

30. Quinetiam, mea ſententia, Ganymedes non corporis ſed animi cauſſa in Olympum à Jove tranſlatus eſt: cui quidem ſententiæ nomen etiam ſuffragatur. Eſt enim alicubi apud Homerum,

—— [γάνυται] δέ τ' ἀκούων.

Hoc eſt, [delectatur autem audiendo]: Et alio in loco eſt:

—— πυκινὰ φρεσὶ [μήδεα] εἰδώς.

Hoc autem eſt, [animo conſilia ſapientiæ plena cognoſcens.] De quibus duobus verbis non propter corporis, ſed animi ſuavitatem, nuncupatus Ganymedes, à Diis honore adficitur.

31. Achillem quoque, mi Nicerate, fecit Homerus Patroclum, non ut amores ſuos, ſed ut ſodalem, glorioſiſſime ulciſcentem, poſteaquam mortuus eſſet. Et Oreſtes ac Pylades,

Theſeus

καὶ Θησεὺς, καὶ Πειρίθους, καὶ ἄλλοι δὲ πολλοὶ, τῶν ἡμιθέων οἱ ἄριστοι ὑμνοῦνται οὐ διὰ τὸ συγκαθεύδειν, ἀλλὰ διὰ τὸ ἄγασθαι ἀλλήλους, τὰ μέγιστα καὶ κάλλιστα κοινῇ διαπεπρᾶχθαι.

λβʹ. Τί δέ; τὰ νῦν καλὰ ἔργα οὐ πάντ᾽ ἂν εὕροι τις ἕνεκα ἐπαίνου ὑπὸ τῶν καὶ πονεῖν καὶ κινδυνεύειν ἐθελόντων πραττόμενα μᾶλλον, ἢ ὑπὸ τῶν ἐθιζομένων ἡδονὴν ἀντ᾽ εὐκλείας αἱρεῖσθαι; καίτοι Παυσανίας γε ὁ Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστὴς, ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκυλινδουμένων, εἴρηκεν, ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο ἐκ παιδικῶν τε καὶ ἐραστῶν.

λγʹ. Τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα αἰδεῖσθαι ἀλλήλους ἀπολείπειν, θαυμαστὰ λέγων, εἴ γε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχύνονται αἰσχρόν τι ποιεῖν.

λδʹ. Καὶ μαρτύρια δὲ ἐπήγετο, ὡς ταῦτα ἐγνωκότες εἶεν καὶ Θηβαῖοι καὶ Ἠλεῖοι. συγκαθεύδοντας

γοῦν

Theſeus ac Peirithous, aliique complures ex Semideis præſtantiſſimi, non propterea, quod una cubarint, ſed quod invicem ſe ſuſpiciendo, res maximas & pulcherrimas publice perfecerint, celebrantur.

32. Quid autem? an non quæ jam præclara patrantur facinora, reperiet aliquis laudis gratia potius ab iis fieri, qui & labores & pericula volunt adire, quam ab aliis qui voluptatem pro gloria eligere conſueverunt? Quamquam poetæ Agathonis amator Pauſanias, dum purgaret eos qui per intemperantiam una volutantur, etiã exercitum ex adamatis & amatoribus fortiſſimum fieri poſſe dixit.

33. Nam exiſtimare ſe aiebat, hos in primis pudore præpediri, quominus ſe mutuo deſerant. Quod quidem ab eo dictum mirari ſubit, eos ſcilicet, qui reprehenſionem negligere, ſeque non revereri conſueviſſent mutuo, maxime verituros turpe quiddam admittere.

34. Producebat & teſtimonia Thebanorum ac Eleorum, qui tale quid decreviſſent. Quamquam

enim

γουῶ αὐτοῖς, ὅμως παρατάττεσθαι ἔφη τὰ παιδικὰ εἰς τὸν ἀγῶνα· οὐδὲν τοῦτο σημεῖον λέγων ὅμοιον. ἐκείνοις μὲν γὰρ ταῦτα νόμιμα, ἡμῖν δ' ἐπονείδιστα. δοκοῦσι δ' ἔμοιγε οἱ μὲν παραταττόμενοι ἀπιστοῦσιν ἐοικέναι, μὴ χωρὶς γενόμενοι οἱ ἐρώμενοι οὐκ ἀποτελῶσι τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα.

λε'. Λακεδαιμόνιοι δὲ οἱ νομίζοντες, ἐὰν καὶ ὀρεχθῇ τις σώματος, μηδενὸς ἂν ἔτι καλοῦ κἀγαθοῦ τούτου τυχεῖν, οὕτω τελέως τοὺς ἐρωμένους ἀγαθοὺς ἀπεργάζονται, ὡς καὶ μετὰ ξένων, κἂν μὴ ἐν τῇ αὐτῇ πόλει ταχθῶσι σὺν τῷ ἐραστῇ, ὁμοίως αἰδοῦνται τοὺς παρόντας ἀπολείπειν. Θεὰν γὰρ οὐ τὴν ἀναίδειαν, ἀλλὰ τὴν αἰδῶ νομίζουσι.

λϛ'. Δοκοῦμεν δ' ἂν μοι πάντες ὁμόλογοι γενέσθαι περὶ ὧν λέγω, εἰ ὧδε ἐπισκοπῶμεν, τῷ ποτέρως παιδὶ φιληθέντι μᾶλλον ἄν τις πιστεύσειεν ἢ χρήματα, ἢ τέκνα, ἢ χάριτας παρακατατίθεσθαι. ἐγὼ μὲν γὰρ οἶμαι

καὶ

enim una cubent, nihilominus amores in prœliis eadem in acie collocari. Quod quidem argumentum minime congruens adferebat. Nam apud illos hæc conſentanea ſunt legibus, apud nos autem probro ducuntur. At mihi ſane, qui eadem in acie collocantur, diffidere ſibi videntur; ne videlicet, ſi ſeorſum eſſent diſpoſiti ab ipſis adamati, fortium virorum muneri non reſponderent.

35. Lacedæmonii vero, qui exiſtimant, corpus adpetentem nihil amplius boni & præclari conſequi, tam perfecte bonos ac fortes viros ex adamatis efficiunt; ut inter exteros etiam, ex ejus civitatis inſtituto cum amatoribus in acie non collocati, nihilominus illos, qui adſunt, deſerere vereantur. Non enim impudentiam, ſed verecundiam eſſe Deam quamdam volunt.

36. Et videmur ſane omnes in iis de quibus loquimur, conſentire; ſi hoc modo rem conſideremus: Utro ſcilicet modo adamato quis potius vel fortunas ſuas & liberos crediderit, vel beneficium præſtiterit. Atque equidem ſentio,

etiam

καὶ αὐτὸν τὸν τῷ εἴδει τοῦ ἐρωμένου χρώμενον, μᾶλλον ἂν ταῦτα πάντα τῷ τὴν ψυχὴν ἐρασμίῳ πιστεῦσαι.

λζ΄. Σοί γε μήν, ὦ Καλλία, δοκεῖ μοι ἄξιον εἶναι καὶ θεοῖς χάριν εἰδέναι, ὅτι σοι Αὐτολύκου ἔρωτα ἐνέβαλον. ὡς μὲν γὰρ φιλότιμός ἐστιν, εὔδηλον, ὃς τοῦ κηρυχθῆναι ἕνεκα νικῶν παγκράτιον, πολλοὺς μὲν πόνους, πολλὰ δ᾽ ἄλγη ἀνέχεται.

λη΄. Εἰ δὲ οἴοιτο μὴ μόνον ἑαυτὸν καὶ τὸν πατέρα κοσμήσειν, ἀλλ᾽ ἱκανὸς γενήσεσθαι δι᾽ ἀνδραγαθίαν καὶ φίλους εὖ ποιεῖν καὶ τὴν πατρίδα αὔξειν, τρόπαια τῶν πολεμίων ἱστάμενος, καὶ διὰ ταῦτα περίβλεπτός τε καὶ ὀνομαστὸς ἔσεσθαι καὶ ἐν Ελλησι καὶ ἐν βαρβάροις, πῶς οὐκ οἴει αὐτόν, ὅντιν᾽ ἡγοῖτο εἰς ταῦτα συνεργὸν εἶναι κράτιστον, τοῦτον ταῖς μεγίσταις ἂν τιμαῖς περιέπειν;

λθ΄. Εἰ οὖν βούλει τούτῳ ἀρέσκειν, σκεπτέον μέν σοι, ποῖα ἐπιστάμενος Θεμιστοκλῆς ἱκανὸς ἐγένετο τὴν Ελλάδα ἐλευθεροῦν.

etiam illum, qui amati forma utitur, lubentius hæc universa crediturum ei qui animo quoque ſit amabilis.

37. Te certe, mi Callia, Diis gratias agere æquum eſt, mea ſane ſententia, qui Autolyci amorem tibi indiderint. Nam hunc honoris eſſe cupidum reipſa patet, quippe qui ut per præconem quinquertii victor pronuntietur, labores multos multoſque dolores tolerat.

38. Quod ſi putat, ſe non ſolum ſibi ac patri ornamento eſſe poſſe, ſed etiam propter virtutem amicos beneficiis adficere, ac patriam amplificare, tropæa de ſuperatis hoſtibus ſtatuentem, eaque de cauſſa conſpicuum & celebrem tum apud Græcos tum barbaros: cur non exiſtimes ipſum maximis aliquem proſequuturum honoribus, quem duceret in hoc adjutorem ſe præſtantiſſimum habiturum?

39. Quare ſi huic placere vis, conſiderandum erit tibi, quo pacto Themiſtocles idoneus ad Græciam liberandam factus ſit; item-

ροῦν· σκεπτέον δὲ, ποῖά ποτε εἰδὼς Περικλῆς κράτιστος ἐδόκει τῇ πατρίδι σύμβουλος εἶναι· ἀθρητέον δὲ, καὶ πῶς ποτε Σόλων φιλοσοφήσας, νόμους κρατίστους τῇ πόλει κατέθηκεν· ἐρευνητέον δὲ, καὶ ποῖα Λακεδαιμόνιοι ἀσκοῦντες, κράτιστοι δοκοῦσιν ἡγεμόνες εἶναι. πρόξενοι δὲ καὶ κατάγονται ἀεὶ παρά σοι οἱ κράτιστοι αὐτῶν.

μ'. Ὡς μὲν οὖν σοι ἡ πόλις ταχὺ ἂν ἐπιτρέψειεν αὐτὴν, εἰ βούλει, εὖ ἴσθι. τὰ μέγιστα γάρ σοι ὑπάρχει. εὐπατρίδης εἶ, ἱερεὺς θεῶν τῶν ἀπ' Ερεχθέως, οἳ καὶ ἐπὶ τὸν βάρβαρον σὺν Ἰάκχῳ ἐστράτευσαν. καὶ νῦν ἐν τῇ ἑορτῇ ἱεροπρεπέστατος δοκεῖς εἶναι τῶν προγεγενημένων, καὶ σῶμα ἀξιοπρεπέστατον μὲν ἰδεῖν τῆς πόλεως ἔχεις, ἱκανὸν δὲ μόχθους ὑποφέρειν.

μα'. Εἰ δὲ ὑμῖν δοκῶ σπουδαιολογῆσαι μᾶλλον, ἢ παρὰ πότον πρέπει, μηδὲ τοῦτο θαυμάζετε. ἀγαθῶν γὰρ φύσει καὶ τῆς ἀρετῆς φιλοτίμως ἐφιεμένων ἀεί ποτε τῇ πόλει συνεραστὴς ὢν διατελῶ.

μβ'. Οἱ

itemque conſiderandum, quali Pericles inſtructus ſcientia viſus ſit patriæ conſiliarius fuiſſe optimus: perſpiciendum, quo pacto philoſophatus Solon, patriæ leges optimas tulerit: perveſtigandum, qualibus exercitiis utentes Lacedæmonii, præſtantiſſimi duces eſſe videantur. Et divertunt ad te ſemper præſtantiſſimi ex ipſis publici hoſpites.

40. Itaque ſcire debes, rempublicam cito ſemet tibi tradituram, ſi velis. Nam adjumenta maxima ad eam rem habes. Patricius es, ſacerdos es Deorum, ex iis qui ſunt ab Erechtheo, qui cum Jaccho adverſus regẽ barbarũ militarunt. Etiam in feſto nunc auguſtiſſimus eſſe videris omnium majorum, & corpus habes inter hujus urbis alia ſpectatu digniſſimum, tolerandiſque laboribus idoneum.

41. Quod ſi vobis videor magis ſerio loqui, quam in vino conveniat: mirum id vobis ne videatur. Nam ſemper ego una cum republica dilexi eos, qui bona præditi eſſent indole, ac virtutis ambitioſe cupidi eſſent.

42. Ac

μβ'. Οἱ μὲν δὴ ἄλλοι περὶ τῶν ῥηθέντων διελέγοντο, ὁ δ' Αὐτόλυκος κατεθεᾶτο τὸν Καλλίαν. καὶ ὁ Καλλίας δὲ παρορῶν εἰς ἐκεῖνον, εἶπεν· Οὐκοῦν σύ με, ὦ Σώκρατες, μαστροπεύσῃς πρὸς τὴν πόλιν, ὅπως πράττω τὰ πολιτικὰ, καὶ ἀεὶ ἀρεστὸς ὦ αὐτῇ.

μγ'. Ναὶ μὰ Δί', ἔφη, ἢν ὁρῶσί γέ σε μὴ τῷ δοκεῖν ἀλλὰ τῷ ὄντι ἀρετῆς ἐπιμελούμενον. ἡ μὲν γὰρ ψευδὴς δόξα ταχὺ ἐλέγχεται ὑπὸ τῆς πείρας, ἡ δ' ἀληθὴς ἀνδραγαθία (ἢν μὴ θεὸς βλάπτῃ) ἀεὶ ἐν ταῖς πράξεσι λαμπροτέραν τὴν εὔκλειαν συμπαρέχεται.

ΚΕΦ. θ'.

Οὗτος μὲν δὴ ὁ λόγος ἐνταῦθα ἔληξεν. Αὐτόλυκος δὲ (ἤδη γὰρ ὥρα ἦν αὐτῷ) ἐξανίστατο εἰς περίπατον· καὶ ὁ Λύκων ὁ πατὴρ αὐτῷ συνεξιὼν, ἐπιστραφεὶς εἶπε· νὴ τὴν Ἥραν, ὦ Σώκρατες, καλός τε κἀγαθὸς δοκεῖς μοι ἄνθρωπος εἶναι.

β'. Ἐκ

42. Ac de his quidem, ita dictis, ceteri diſſerebant. Autolycus autem Calliam adſpiciebat, in quem viciſſim Callias conjectis oculis: Ergo tu, mi Socrates, lenocinio tuo me civitati conciliabis, ait, ut res civiles tractem, ac ſemper ei placeam.

43. Profecto fiet hoc, inquit, ſi te non opinione ſed reipſa virtutis eſſe ſtudioſum viderint. Nam falſa gloria celeriter ab experientia redarguitur, at vera ſtrenuitas (niſi Deus impedimento ſit) ſemper in actionibus ſplendidiorem gloriam ſuppeditat.

CAP. IX.

Hujus quidem colloquii finis hic fuit. Et Autolycus (quod ita tempus poſceret) ad deambulationem ſurgebat, ac Lyco pater una cum ipſo exibat: & converſus: Per Junonem, inquit, mi Socrates, bonus & honeſtus mihi vir eſſe videris.

2. Secun-

β΄. Ἐκ δὲ τούτου πρῶτον μὲν θρόνος τις ἔνδον κατετέθη, ἔπειτα δὲ ὁ Συρακόσιος εἰσελθὼν εἶπεν· ὦ ἄνδρες, Ἀριάδνη εἴσεισιν τὸν ἑαυτῆς τε καὶ Διονύσου θάλαμον. μετὰ δὲ τοῦθ' ἥξει Διόνυσος ὑποπεπωκὼς παρὰ θεοῖς, καὶ εἴσεισι πρὸς αὐτήν, ἔπειτα παιξοῦνται πρὸς ἀλλήλους.

γ΄. Ἐκ τούτου πρῶτον μὲν ἡ Ἀριάδνη ὡς νύμφη κεκοσμημένη παρῆλθε, καὶ ἐκαθέζετο ἐπὶ τοῦ θρόνου· οὔπω δὲ φαινομένου τοῦ Διονύσου, ηὐλεῖτο ὁ Βακχεῖος ῥυθμός. ἔνθα δὴ ἠγάσθησαν τὸν ὀρχηστοδιδάσκαλον. εὐθὺς μὲν γὰρ ἡ Ἀριάδνη ἀκούσασα, τοιοῦτό τι ἐποίησεν, ὡς πᾶς ἂν ἔγνω, ὅτι ἀσμένη ἤκουσε· καὶ ὑπήντησε μὲν οὔ, οὐδὲ ἀνέστη, δήλη δ' ἦν μόλις ἠρεμοῦσα.

δ΄. Ἐπεί γε μὴν κατεῖδεν αὐτὴν ὁ Διόνυσος, ἐπιχορεύσας ὥσπερ ἂν εἴ τις φιλικώτατα, ἐκαθέζετο ἐπὶ τῶν γονάτων, καὶ περιλαβὼν ἐφίλησεν αὐτήν. ἡ δ' αἰδουμένη μὲν ἐῴκει, ὅμως δὲ φιλικῶς ἀντιπεριελάμβανεν.

Οἱ

2. Secundum hæc ſella quædam intus eſt collocata primum, deinde Syracuſanus ingreſſus: Ariadna, inquit, ô viri, ſuum & Bacchi thalamum ingreditur. Poſtea Bacchus adveniet, largiuſcule potus apud Deos, ac ingredietur ad illam: deinde ludent inter ſe.

3. Hinc jam Ariadna tamquam ſponſa exornata ingreſſa eſt, ac in throno conſedit. Ita etiam Baccho prodeunte, tibia numerus Bacchicus canebatur. Tum omnes magiſtrum choreæ prædicare. Nam Ariadna ſtatim, quum hæc audiiſſet, tale quid faciebat, ut quivis animadverteret, libenter id eam audiiſſe. Ac obviam quidem illa non proceſſit, nec adſurrexit: præ ſe ferebat tamen, quod vix conquieſceret.

4. Poſteaquam vero Bacchus eam vidiſſet, haud aliter ſaltans, ac fieri amiciſſime poſſet, in genibus conſidebat: quumque complexus illam fuiſſet, etiam oſculatus eſt. Ea vero tametſi pudore quodam adfectæ ſimilis eſſet, amice tamen illum viciſſim amplectebatur.

Quod

οἱ δὲ συμπόται ὁρῶντες, ἅμα μὲν ἐκρότουν, ἅμα δὲ ἐβόων αὖθις.

ε'. Ὡς δὲ ὁ Διόνυσος ἀνιστάμενος συνανέστησε μεθ' ἑαυτοῦ τὴν Ἀριάδνην, ἐκ τούτου δὴ φιλούντων τε καὶ ἀσπαζομένων ἀλλήλους σχήματα παρῆν θεάσασθαι. οἱ δὲ, ὁρῶντες ὄντως καλὸν μὲν τὸν Διόνυσον, ὡραίαν δὲ τὴν Ἀριάδνην, οὐ σκώπτοντας δὲ, ἀλλ' ἀληθινῶς τοῖς στόμασι φιλοῦντας, πάντες ἀνεπτερωμένοι ἐθεῶντο.

ϛ'. Καὶ γὰρ ἤκουον τοῦ Διονύσου μὲν ἐπερωτῶντος αὐτὴν, εἰ φιλεῖ αὐτὸν, τῆς δὲ οὕτως ἐπομνυούσης, ὥστε μὴ μόνον τὸν Διόνυσον, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας ἐπομόσαι ἂν, ἦ μὴν τὸν παῖδα καὶ τὴν παῖδα ὑπ' ἀλλήλων φιλεῖσθαι. ἐῴκεσαν γὰρ οὐ δεδιδαγμένοις τὰ σχήματα, ἀλλ' ἐφιεμένοις πράττειν ἃ πάλαι ἐπεθύμουν.

ζ'. Τέλος δὲ οἱ συμπόται ἰδόντες περιβεβληκότας τε ~~ἀλλήλοις, καὶ ὡς εἰς εὐνὴν~~ ἀπιόντας, οἱ μὲν ἄγαμοι γαμεῖν ἐπώμνυσαν, οἱ δὲ γεγαμηκότες, ἀναβάντες ἐπὶ

τοὺς

Quod quum convivæ cernerent, partim plauſum excitabant, partim rurſus exclamabant.

5. Quum autem Bacchus ſurgens Ariadnam ſecum erexiſſet, oſculantum jam & complectentium ſeſe geſtus erat ſpectare. Illi quum revera Bacchum formoſum eſſe cernerent, & Ariadnam formoſam, eoſque non per jocum, ſed vere ſe admotis oribus oſculari; omnes erectis animis ſpectabant.

6. Audiebant enim Bacchum interrogantem ipſam, num ſe amaret, atque illam hoc ita confirmantem jurejurando, ut non modo Bacchus, ſed omnes etiam, qui aderant, juraſſent; revera mutuum eſſe inter puerum & puellam amorem. Erant enim ſimiles iis qui geſtus hos non docti eſſent, ſed facere cuperent id quod jamdudum expetiviſſent.

7. Tamdem quum convivæ illos ſeſe complexos cernerent, quaſique ad cubile tendentes, quotquot uxores necdum duxerant, ducturos ſe jurabant: mariti vero

con-

τοὺς ἵππους, ἀπήλαυνον πρὸς τὰς ἑαυτῶν γυναῖκας, ὅπως τούτων τύχοιεν. Σωκράτης δὲ, καὶ τῶν ἄλλων οἱ ὑπομείναντες, πρὸς Λύκωνα καὶ τὸν υἱὸν σὺν Καλλίᾳ περιπατήσοντες ἀπῆλθον. Αὕτη τοῦ τότε συμποσίου κατάλυσις ἐγένετο.

ΞΕΝΟ-

conſcenſis equis ad uxores ſuas avehebantur, ut iis potirentur. Socrates cum illis, qui remanſerant, ad Lyconem ejuſque filium, una cum Callia deambulaturi diſcedebant. Hunc ad modum convivium tunc temporis dimiſſum eſt.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ

ΙΕΡΩΝ,

Η ΤΥΡΑΝΝΙΚΟΣ.

ΚΕΦ. α'.

ΣΙΜΩΝΙΔΗΣ ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης· ἆρ' ἄν μοι ἐθελήσαις, ὦ Ἱέρων, διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; καὶ ποῖα ταῦτ' ἐστὶν, ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀνδρός;

β'. Οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον

XENOPHONTIS

HIERO,

SIVE DE REGE.

CAP. I.

VENIEBAT aliquando ad regem Hieronē poëta Simonides: quumque otium obtigiſſet utrique, Simonides hoc modo loquutus eſt: Velleſne mihi exponere, mi Hierò, quæ conſentaneum eſt rectius te ſcire quam me? Et cujuſmodi ſunt illa, inquit Hiero, quæ rectius ego ſcilicet noverim, quam tu, qui vir es tam ſapiens?

2. Equidem, ait, ſcio te privata fortuna uſum fuiſſe, ac nunc eſſe

τύραννον ὄντα. εἰκὸς οὖν, ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, τί διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις.

γ΄. Τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ καὶ σύ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπομνήσεις με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ; οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ.

δ΄. Οὕτω δὴ ὁ Σιμωνίδης εἶπε· τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, ὦ Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους· διὰ δὲ τῶν ὤτων, ἀκούσμασι· διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς· διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ ποτοῖς· τὰ δὲ ἀφροδίσια, δι᾽ ὧν δὴ πάντες ἐπιστάμεθα.

ε΄. Τὰ δὲ ψύχη καὶ θάλπη, καὶ σκληρὰ καὶ μαλακὰ, καὶ κοῦφα καὶ βαρέα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν (ἔφη) κρίνοντες, ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπ᾽ αὐτοῖς.

eſſe regem. Quapropter conſentaneum eſt, te, qui utraque ſis expertus, rectius me ſcire, quo pacto vita tum regia, tum privata, quod voluptates ac moleſtias humanas adtinet, differant.

3. Quid igitur? ait Hiero, non tu quoque, quum hoc tempore ſis adhuc homo privatus, revocare mihi poſſis in memoriam ea quæ ſunt in vita privata? Nam ita equidem maxime futurum arbitror, ut quæ in utraque diſcrimina ſunt, indicare poſſim.

4. Quamobrem in hunc modum Simonides dicere cœpit: Animadvertiſſe mihi videor, Hiero, privatos homines, iis rebus quæ ſub aſpectum cadunt, vel cum voluptate vel cum moleſtia per oculos adfici: per aures, iis quæ auribus percipiuntur: per nares, odoribus; per os, cibo & potu: rebus venereis, per ea quæ omnibus nota ſunt.

5. Frigora vero & calores, & dura & mollia, & levia & gravia, toto corpore dijudicare mihi videmur, atque ita deinde vel delectationem vel moleſtiam ex eis percipere.

αὐτοῖς. ἀγαθοῖς δὲ καὶ κακοῖς ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαι, ὅτε δ' αὖ λυπεῖσθαι· ἔστι δὲ ὅτε κοινῇ καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ σώματος.

ϛʹ. Τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ μοι αἰσθάνεσθαι· ὅπως δὲ καὶ ᾧ τινι καὶ ὁπότε, ταῦτα μᾶλλόν πως (ἔφη) δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστὸν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, ἢ τὰ ἐν τῷ ὕπνῳ.

ζʹ. Πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο· ἐγὼ μὲν τοίνυν (ἔφη) ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σύ γε, οὐδ', ὅπως αἴσθοιτό τινος ἄλλου ὁ τύραννος, ἔχοιμ' ἂν εἰπεῖν. ὥστε μέχρι γε τούτου οὐκ οἶδ' εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου.

ηʹ. Καὶ ὁ Σιμωνίδης. εἶπεν· ἀλλ' ἐν τοῖσδε (ἔφη) διαφέρει. πολλαπλάσια μὲν δι' ἑκάστου τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. καὶ ὁ Ἱέρων εἶπεν·

οὐχ

percipere. Bonis autem ac malis nonnumquam per animum vel delectari, vel de iiſdem adfici moleſtia videmur: nonnumquam communiter per animum & corpus.

6. Somno delectari nos, ipſe me ſenſus docere videtur: quo autem pacto, & quo ſomno, & quando, ea vero magis (inquit) ignorare mihi videor. Nec fortaſſe mirum putari debet, quæ vigilantibus nobis accidant, evidentiores nobis ſenſus ſui præbere, quam quæ per ſomnum.

7. Ad ea reſpondebat Hiero: Ego ſane, mi Simonides, haud poſſim dicere, quo pacto rex aliud quid ſentire poſſit, extra illa quæ tu commemoraſti. Quo fit, ut hactenus quidem haud ſciam, an aliquod inter regiam & privatam vitam diſcrimen ſit.

8. Tum Simonides: At in his ipſis, ait, regiæ vitæ diſcrimen eſt. Nam multis partibus majorem ex his ſingulis voluptatem percipit, & moleſtiarum minus habet. Et Hiero: Non

ita

οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα· ἀλλ' εὖ ἴσθι, ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ἰδιωτῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται.

θ'. Απιστα λέγεις, ἔφη ὁ Σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτ' ἔχει, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους;

ι'. Οτι ναὶ μὰ τὸν Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν, ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς ὄψεως. ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν.

ια'. Πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασι λογιζόμενος, εὑρίσκω μειονεκτοῦντας τοὺς τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα. ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται, καὶ εἰς πόλεις ἃς ἂν βούλωνται,

ita ſe res habet, ait, mi Simonides, ſed ſcire debes, reges multo minus delectationis capere, quam privatos homines qui quidem vitam mediocrem agunt, ac multo plures majoreſque moleſtias ſentire.

9. Dicis tu quidem incredibilia, inquit Simonides. Nam ſi hæc eſſet harum rerum ratio, cur multi regnandi eſſent cupidi, & quidem ii, qui homines videntur eſſe rerum maxime periti? Qui fieret, ut univerſi reges admirarentur?

10. Quia profecto vitam, inquit Hiero, utramque non experti, de regia conſiderationem inſtituunt. Ego vero enitar te docere, me verum dicere, facto à viſu initio. Nam meminiſſe videor, inde te quoque exorſum eſſe.

11. Primum enim, quum mecum ipſe ratiocinando verſor in iis quæ oculis cernuntur, deteriorem eſſe regum conditionem reperio. Sunt aliis atque aliis in regionibus alia ſpectatu digna, ad quæ ſingula, privati homines accedunt, tam in urbes,

quas

βούλωνται, θεαμάτων ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα ἃ ἀξιοθέατα δοκεῖ εἶναι ἀνθρώποις, συναγείρεται.

ιβ'. Οἱ δὲ τύραννοι οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλὲς, ὅπου μὴ κρείττονες τῶν παρόντων μέλλουσιν ἔσεσθαι, οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρὰ, ὥστε ἄλλοις παρακαταθεμένους ἀποδημεῖν. φοβερὸν γὰρ, μὴ ἅμα τε στερηθῶσι τῆς ἀρχῆς, καὶ ἀδύνατοι γένωνται τιμωρήσασθαι τοὺς ἀδικήσαντας.

ιγ'. Εἴποις οὖν ἂν ἴσως σύ· ἀλλ' ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἴκοι μένουσι. καὶ μὰ Δία, ὦ Σιμωνίδη, ὀλίγα τε τῶν πολλῶν· καὶ ταῦτα τοιαῦτα ὄντα οὕτω τίμια πωλεῖται τοῖς τυράννοις, ὥστε οἱ ἐπιδεικνύμενοι καὶ ὅ, τι οὖν, ἀξιοῦσι πολλαπλάσια λαβόντες ἐν ὀλίγῳ χρόνῳ ἀπιέναι παρὰ τοῦ τυράννου, ἢ ὅσα ἐν παντὶ τῷ βίῳ παρὰ πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται.

ιδ'. Καὶ

quas volunt, ſpectaculorum cauſſa; quam ad conventus publicos in quibus colliguntur, quæ digna eſſe ſpectatu mortalibus videntur.

12. Reges vero ſpectaculis non admodum occupantur. Nam neque tutum eſt ipſis eo pergere, ubi non ſuperiores illis futuri ſunt, qui iſtic adſunt: neque res ipſorum domi tam tuto ſunt loco, ut iis aliorum fidei creditis, peregre proficiſci poſſint. Nam metuendum eſt, ne ſimul & imperio ſpolientur; & ulciſcendi eos, à quibus ſunt læſi, facultatem amittant.

13. Fortaſſe tu dixeris: At enim ſpectacula nihilominus eis veniunt, etiamſi domi maneant. Sane quam pauca, mi Simonides, de multis: atque etiam quum hujuſmodi ſint, tanti venduntur regibus; ut qui aliquid exhibent, quidquid tamdem id fuerit, multo majoribus præmiis brevi tempore acceptis à rege diſcedere velint, quam per omnem vitam à ceteris hominibus univerſis comparent.

14. Et

ιδ'. Καὶ ὁ Σιμωνίδης εἶπεν· ἀλλ' εἰ τοῖς θεάμασι μειονεκτεῖτε, διά γε τοι τῆς ἀκοῆς πλεονεκτεῖτε. ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροάματος, ἐπαίνου, οὔποτε σπανίζετε. πάντες γὰρ οἱ παρόντες ὑμῖν πάντα καὶ ὅσα ἐὰν λέγητε, καὶ ὅσα ἐὰν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος, λοιδορίας, ἀνήκοοί ἐστε. οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν.

ιε'. Καὶ ὁ Ἱέρων εἶπε· καὶ τί οἴει (ἔφη) τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν, ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντες κακὰ νοοῦσι τῷ τυράννῳ; ἢ τοὺς ἐπαινοῦντας τί δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιεῖσθαι;

ιϛ'. Καὶ ὁ Σιμωνίδης εἶπε· τοῦτο μὲν δὴ ναὶ μὰ τὸν Δία ἔγωγέ σοι, Ἱέρων, πάνυ συγχωρῶ, τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι. ἀλλ' ὁρᾷς,

ὡς

14. Et Simonides: Quod ſi maxime quod adtinet ſpectacula, deterior eſt veſtra conditio: ſaltim plus voluptatis auribus percipitis. Nam quod unum eſt auditu jucundiſſimum, numquam laudes vobis deſunt. Omnes enim familiares veſtri, omnia quæcunque vel dicitis, vel facitis, prædicant. Quod vero longe moleſtiſſimum auditu quiddam eſt, convicia numquam auditis: Nemo enim regem in os accuſare vult.

15. Ad ea Hiero: Quid vero putas, inquit, voluptatis illos adferre, qui non maledicunt, quum notum alicui eſt omnino, hos omnes, qui tacent, mala de tyranno cogitare? Vel quid adferre delectationis putas illos laudatores, quum ſuſpecti ſunt, ne forte laudationes illas adſentandi cauſſa inſtituant?

16. Ad ea Simonides: Equidem hoc profecto, inquit, tibi concedo, mi Hiero; laudes, quæ ab hominibus maxime liberis proficiſcantur, jucundiſſimas eſſe. Sed

ὡς ἐκεῖνό γε οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα, ὡς οὐ δι' ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε.

ιζ'. Καὶ οἶδά γ' (ἔφη) ὦ Σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ πλεῖστοι, ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς.

ιη'. Διὸ καὶ πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτάς, πλὴν οἱ τύραννοι. ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν.

ιθ'. Ἔπειτα δ' (ἔφη) ἐκεῖνο εὖ οἶδ', ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ θᾶσσον κόρος ἐμπίπλει τῆς ἐδωδῆς. ὥστε καὶ

τῷ

Sed vides numquam te perſuaſurum ulli hominum, non multo plus ex iis vos delectationis capere, per quæ homines alimur.

17. Novi (ait) mi Simonides, de hoc ſtatuere maximam hominum partem, ſuavius nos & bibere, & veſci, quam privatos: quod & ipſis videatur eſſe jucundius eam cœnam ſumere, quæ nobis adponitur, quam quæ ipſis. Etenim quod uſitata excedit, id voluptates ſuppeditat.

18. Quamobrem univerſi homines magna cum voluptate dies feſtos opperiantur, extra ſolos reges. Nam illorum menſæ ſemper inſtructæ magna rerum copia, incrementum feſtis diebus nullum habent. Quo fit, ut primum ſpei voluptate à privatis hominibus ſuperentur.

19. Deinde ſcio te quoque expertum eſſe, fieri ut quanto plura quis adpoſuerit, quæ modum excedant illorum quæ ſatis fuiſſent, tanto citius ſatietas cibi nos capiat. Itaque ipſo

etiam

τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ παρατιθέμενος πολλὰ τῶν μετρίως διαιτωμένων.

κ΄. Ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτο πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμένων.

κα΄. Οὐκοῦν, ἔφη ὁ Ἱέρων, ὦ Σιμωνίδη, τὸν ἑκάστῳ ἡδόμενον μάλιστα, τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου; πάνυ μὲν οὖν, ἔφη. ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους ἥδιον ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν ἰόντας ἢ τοὺς ἰδιώτας ἐπὶ τὴν ἑαυτῶν; οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν οὖν, ἀλλὰ καὶ ἀγλυκέστερον, ὡς πολλοῖς ἂν δόξειε.

κβ΄. Τί γάρ; ἔφη ὁ Ἱέρων, τὰ πολλὰ ταῦτα μηχανήματα κατανενόηκας ἃ παρατίθεται τοῖς τυράννοις, ὀξέα, καὶ δριμέα, καὶ στρυφνὰ, καὶ τὰ τούτων ἀδελφά; πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ

μοι

etiam tempore minus voluptatis percipit is, qui adponit multas, quam quiſquam eorum qui modice victitant.

20. At profecto, inquit Simonides, quam diu admittit cibum animus, tam diu majorem voluptatem capiunt, qui ſumtuoſo adparatu nutriuntur, quam qui viliora quædam adponunt.

21. An non igitur, mi Simonides, ait Hiero, putas, eum qui re aliqua delectatur, vehementiſſimo ejus rei amore teneri? Omnino, inquit. An ergo vides majori reges cum voluptate ad cibum ipſis adparatum accedere, quam privatos homines ad ſuum? Nequaquam certe, ait: immo etiam injucundius, ut pleriſque videri poſſit.

22. Quid? ait Hiero, num multa illa magnaque arte elaborata conſideraſti, quæ regibus adponuntur, acria, mordacia, acerba, & quæ his germana ſunt? Maxime, ait Simonides, & quidem mihi plane viden-

μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις.

κγʹ. Ἀλλό τι οὖν οἴει, ἔφη ὁ Ἰέρων, ταῦτα τὰ ἐδέσματα εἶναι, ἢ μαλακῆς καὶ ἀσθενούσης τρυφῇ ψυχῆς ἐπιθυμήματα; ἐπεὶ εὖ οἶδ' ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες (καὶ σύ που οἶσθα) ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων.

κδʹ. Ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν ὀσμῶν τούτων, αἷς χρίεσθε, τοὺς πλησιάζοντας οἶμαι μᾶλλον ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς· ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες.

κεʹ. Οὕτω μέντοι, ἔφη ὁ Ἰέρων, καὶ τῶν σίτων ὁ μὲν ἔχων παντοδαπὰ ἀεί, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινός, οὗτός ἐστιν ὁ μετὰ χαρᾶς ἐμπιπλάμενος, ὅταν αὐτῷ προφανῇ τι.

κϛʹ. Κινδυνεύουσιν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν, ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν, ὅ,τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι.

κζʹ. Νῦν

videntur eſſe præter hominum naturam.

23. Ergone putas, inquit Hiero, hæc edulia quiddam eſſe aliud quam mollis & languentis præ deliciis animi cupiditates? Nam certo ſcio (neque tu fortaſſis ignoras) eos, qui jucunde veſcantur, iſtis artificioſis inventis non indigere.

24. At vero, ait Simonides, etiam ſumtuoſis illis odoribus, quibus ungimini, magis arbitror familiares veſtros frui, quam vos ipſos: quemadmodum odores ingratos quoque non ſentit is qui ederit; ſed illi potius qui cum eo verſantur.

25. Sic igitur, ait Hiero, qui varios ſemper cibos habet, nullos cum adpetitione ſumit: at cui raro quid obvenit, is vero eſt qui cum lætitia ſatiatur, quum quid ei objicitur.

26. Videntur, ait Simonides, tantum rei venereæ fruitiones in vobis regnandi cupiditates excitare. Nam hac in parte licet vobis, ut quodcumque pulcherrimum videritis, cum eo conſueſcatis.

κζ΄. Νῦν δὴ, ἔφη ὁ Ἱέρων, εἴρηκας ἐν ᾧ (σάφ' ἴσθι) μειονεκτοῦμεν τῶν ἰδιωτῶν. πρῶτον μὲν γὰρ γάμος ὁ μὲν ἐκ μειζόνων δήπου καὶ πλούτῳ καὶ δυνάμει κάλλιστος δοκεῖ εἶναι), καὶ παρέχειν τινὰ τῷ γήμαντι φιλοτιμίαν μεθ' ἡδονῆς· δεύτερον δὲ, ὁ ἐκ τῶν ὁμοίων. ὁ δ' ἐκ τῶν φαυλοτέρων, πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομίζεται.

κη΄. Τῷ τοίνυν τυράννῳ, ἂν μὴ ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν. ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίνεται. πολὺ δὴ καὶ αἱ θεραπεῖαι αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι μάλιστα· αἱ δὲ ὑπὸ τῶν δούλων, παροῦσαι μὲν οὐδέν τι ἀγαπῶνται, ἐὰν δέ τι ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λύπας ἐμποιοῦσιν.

κθ΄. Εν δὲ τοῖς παιδικοῖς ἀφροδισίοις ἔτι αὖ πολὺ μᾶλλον ἢ ἐν τοῖς τεκνοποιοῖς μειονεκτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. ὅτι γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια

πολὺ

27. Dixiſti tu modo quiddam, ait Hiero, in quo ſcire debes, nos à privatis hominibus ſuperari. Primum enim conjugium, quod cum majoribus contrahitur, nimirum & propter opes & potentiam longe pulcherrimum eſſe videtur; & ei, qui ducit uxorem, cum voluptate quamdam dignitatem ſuppeditare: Altero loco eſt id quod inter æquales contrahitur. Quod autem ex vilioribus conſtat, plane ignominioſum & inutile putatur.

28. Rex ergo, ſi exteram non duxerit, ex inferioribus uxorem ducat neceſſe eſt. Quo fit, ut non admodum id conſequatur, quo contentus ſit. At vero coli à feminis, quæ maximos ſpiritus gerant, maxime voluptati eſt: ab iis autem, quæ ſervæ noſtræ ſunt, ſi colamur, non admodum ſatisfit animo; ſin minus, graves ea res iras ac moleſtias in nobis excitat.

29. Jam aliis in amoribus etiam multo minus voluptatum rex percipit, quam in iis quibus ſoboles procreatur. Scimus enim, omnes congreſſus venereos,

reos,

πολὺ διαφερόντως εὐφραίνει, πάντες δή που ἐπιστάμεθα.

λ'. Ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν ἄν τις ἄπειρος ὢν δίψους, τοῦ πιεῖν οὐκ ἂν ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων.

λα'. Ὁ μὲν οὖν Ἱέρων οὕτως εἶπεν. ὁ δὲ Σιμωνίδης ἐπιγελάσας· πῶς λέγεις; ἔφη, ὦ Ἱέρων. τυράννῳ οὐ φῂς παιδικῶν ἔρωτας ἐμφύεσθαι; πῶς μὴν σὺ, ἔφη, ἐρᾷς Δαϊλόχου τοῦ καλλίστου ἐπικαλουμένου;

λβ'. Ὅτι μὰ τὸν Δί', ἔφη, ὦ Σιμωνίδη, οὐ τοῦ ἑτοίμου παρ' αὐτοῦ δοκοῦντος εἶναι τυχεῖν, τούτου μάλιστα ἐπιθυμῶ, ἀλλὰ τοῦ ἥκιστα τυράννῳ προσήκοντος κατεργάσασθαι.

λγ'. Ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου, ὧνπερ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν. τούτων δὲ,

ὧν

reos, cum amore conjunctos, eximiam voluptatem adferre.

30. Verum amor in nullorum animis minus excitatur quam regis. Non enim amori jucundum eſt illa expetere, quæ in promtu ſunt, ſed quæ ſperantur. Itaque perinde atque is qui ſitim expertus non eſt, potu non fruitur: ſic etiam is qui amorem non eſt expertus, longe ſuaviſſimæ veneris eſt expers.

31. Hujuſmodi erant, quæ ab Hierone dicerentur, ad quæ riſu Simonides ſublato: Quid ais, inquit, Hiero? Negas tu regum in animis excitari amores pueriles? Qui fit, quod tu Dailochum, quem formoſiſſimum vocant, amas?

32. Quia, mi Simonides, ait, profecto non id potiſſimum concupiſco, quod ab ipſo impetraturus facile videor: ſed quod efficere, regis eſt à conditione alienum.

33. Etenim Dailochum equidem amo propter ea quæ fortaſſe cogit hominis natura petere à formoſis: ea vero quæ conſe-

ὧν ἐρῶ τυχεῖν, μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν· βίᾳ δὲ λαμβάνειν παρ' αὐτοῦ ἧττον ἄν μοι δοκῶ ἐπιθυμεῖν, ἢ ἐμαυτὸν κακόν τι ποιεῖν.

λδ'. Παρὰ μὲν γὰρ πολεμίων ἀκόντων λαμβάνειν πάντων ἥδιστον ἔγωγε νομίζω εἶναι, παρὰ δὲ παιδικῶν βουλομένων ἥδισται (οἶμαι) αἱ χάριτές εἰσιν.

λε'. Εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις, ἡδεῖαι δὲ αἱ ἐρωτήσεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις, ἥδισται δὲ καὶ ἐπαφροδιτόταται αἱ μάχαι τε καὶ ἔριδες.

λϛ'. Τὸ δὲ ἀκόντων παιδικῶν ἀπολαύειν, λεηλασίᾳ (ἔφη) ἔμοιγε δοκεῖ ἐοικέναι μᾶλλον, ἢ ἀφροδισίοις. καίτοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονὰς τό, τε κέρδος, καὶ τὸ ἀνιᾶν τὸν ἐχθρόν· τὸ δὲ, οὗ ἂν ἐρᾷ τις, τούτῳ ἥδεσθαι ἀνιωμένῳ, καὶ φιλοῦντα μισεῖσθαι, καὶ ἅπτεσθαι ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ οἰκτρόν;

λζ'. Καὶ

confequi cupio, ſicut à volente, ac mutua cum amicitia mihi evenire vehementer deſidero: ita vi ab eo ſumere minus mihi velle videor, quam meipſum lædere.

34. Nam hoſtibus invitis aliquid eripere, jucundiſſimum equidem eſſe arbitror: & gratificationes, quæ ab amoribus ultro contingunt, ſuaviſſimæ ſunt, mea quidem ſententia.

35. Statim enim redamantis adſpectus mutuus gratus eſt, gratæ interrogationes, gratæ reſponſiones, gratiſſimæ ac in primis jucundæ pugnæ & contentiones.

36. At amoribus invitis frui, quiddam prædationi ſimilius eſſe videtur, quam rei venereæ. Immo prædoni voluptates quaſdam lucrum ipſum ſuppeditat, & quod moleſtia hoſtem adficiat: quum voluptatem ex eo, quod aliquis amet, moleſtiam ſentiente percipere, atque amantem eſſe in odio, graviterque ferentem adtingere, quo pacto non moleſtum deplorandumque malum ſit?

37. Nam

λζ'. Καὶ γὰρ δὴ τῷ μὲν ἰδιώτῃ εὐθὺς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται, διὰ τὸ εἰδέναι ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετῇ.

λη'. Τῷ δὲ τυράννῳ οὔποτ' ἔστι πιστεῦσαι, ὡς φιλεῖται. ἐπιστάμεθα γὰρ αὖ τοὺς διὰ φόβον ὑπηρετοῦντας, ὡς ᾗ μάλιστ' ἂν δύνωνται ἐξεικάζουσιν αὐτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις. καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσίν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων.

ΚΕΦ. β'.

Πρὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης· ἀλλὰ ταῦτα μὲν πάνυ ἔμοι γε μικρὰ δοκεῖ εἶναι, ἃ σὺ λέγεις. πολλοὺς γὰρ, ἔφη, ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι ἑκόντας μειονεκτοῦντας καὶ σίτων, καὶ ποτῶν, καὶ ὄψων, καὶ ἀφροδισίων γε ἀπεχομένους.

β'. Ἀλλ' ἐν ἐκείνοις γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι

37. Nam homini privato mox argumento eſt, quum qui amatur obſequentem ſe præbet, fieri hoc tanquam ab amante gratificandi ſtudio. Scit enim illum id nulla neceſſitate cogente præſtare.

38. Verum tyrannus numquam diligi ſe, credere poteſt. Novimus enim, illos, qui metus cauſſa obſequuntur, quam poſſunt maxime amantium obſequia ſimulare. Itaq; tyrannis inſidiæ ab aliis nullæ tam ſunt frequentes, quam ab iis qui maxime ſe amare ſimulant.

CAP. II.

Ad ea Simonides: Videntur, inquit, hæc quæ tu profers, admodum exigua eſſe. Nam multos equidem video viros hominum opinione egregios, qui ſua ſponte ſunt aliis inferiores, quod cibos adtinet, quod potum, quod obſonia; atque etiam venereis à voluptatibus abſtinent:

2. Verum in illis multum inter privatos homines ac vos intereſt,

ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ κατεργάζεσθε· πλεῖστα δὲ τὰ περιττὰ ἔχετε, κέκτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵππους, διαφέροντα δὲ κάλλει ὅπλα, ὑπερέχοντα δὲ κόσμον γυναιξὶ, μεγαλοπρεπεστάτας δ' οἰκίας, καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις· ἔτι δὲ πλήθει καὶ ἐπιστήμαις θεράποντας ἀρίστους κέκτησθε· ἱκανώτατοι δὲ ἐστὲ κακῶσαι μὲν ἐχθροὺς, ὀνῆσαι δὲ φίλους.

γ'. Πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν· ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη, ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος, οὐδέν τι θαυμάζω. μάλα γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν καὶ εὐδαίμονάς τινας εἶναι, καὶ ἀθλίους.

δ'. Η δὲ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπτυγμένα θεᾶσθαι, φανερὰ πᾶσι παρέχεται· τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἔνθα περ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται.

ε'. Τὸ

tereſt, quod & magnas res animo concipitis, & celeriter conficitis. Habetis & abundantem rerum copiam, equos inſigni virtute, arma pulchritudine eximia, mundum pro uxoribus egregium, ædes magnificentiſſimas, eaſque maximi pretii rebus inſtructas. Sunt item vobis famuli plurimi, & artium cognitione præſtantiſſimi. Poteſtas vobis eſt maxima tum lædendi hoſtes tum commodandi amicis.

3. Ad quæ Hiero: Sed enim vulgo mortalium, mi Simonides, à regno perſtringi oculos equidem non miror. Nam vulgus hominum valde mihi videtur ex iis quæ ſub ejus oculos cadunt, opinionem de quorundam felicitate & infelicitate concipere.

4. At regnum eas res quæ maximi eſſe pretii videntur, explicatas palam ſpectandas omnibus exhibet: quæ vero moleſta ſunt, ea regum in animis occulta tenet, in quibus & felicitas & infelicitas hominum ſita eſt.

5. Quam-

ε'. Τὸ μὲν οὖν τὸ πλῆθος περὶ τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. τὸ δὲ καὶ ὑμᾶς ταῦτ' ἀγνοεῖν, οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον, ἢ διὰ τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν πραγμάτων, τοῦτό μοι δοκεῖ θαυμαστὸν εἶναι.

ϛ'. Εγὼ δὲ πεπειραμένος σαφῶς οἶδα, ὦ Σιμωνίδη, καὶ λέγω σοι, ὅτι οἱ τύραννοι τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν πλεῖστα κέκτηνται.

ζ'. Αὐτίκα γάρ, εἰ μὲν εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν· εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν.

η'. Εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις, ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν ὅποι ἂν βούλωνται πορεύεσθαι, μηδὲν φοβουμένους μή τις αὐτοὺς ἀποκτείνῃ· οἱ δὲ τύραννοι πάντες πανταχῇ ὡς διὰ πολεμίας πορεύονται. αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν, καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι.

θ'. Επειτα

5. Quamobrem hæc multitudinem latere non miror, ut dixi: ſed vobis quoque ignota eſſe, qui animi judicio maxima ex parte res pulchrius contemplari videmini, quam oculis, mihi quidem mirum eſt.

6. Ego vero experiundo plane cognovi, mi Simonides, ac tibi dico, reges maximorum bonorum minime participes fieri, & graviſſimorum malorum inſignem habere copiam.

7. Protinus enim, ſi pax magnum hominibus eſſe bonum videtur, quamminimum ejus participes ſunt reges: ſi bellum ingens eſt malum, maxima ejus pars ad reges pertinet.

8. Primum hominibus privatis, ſi non ipſorum civitas bellum publicum ſuſcipiat, quocumque lubet, abire licet, nihil metuentibus, ne quis eis vitam adimat. Reges vero univerſi ubique tamquam per hoſtium fines proficiſcuntur. Itaque neceſſarium putant, ut & ipſi armati ſint, & armatos ſemper ſecum circumducant.

θ'. Ἔπειτα δὲ οἱ μὲν ἰδιῶται, ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ' οὖν ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι. οἱ δὲ τύραννοι ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄντες.

ι'. Ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν εἰς τὴν πόλιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους τύχωσιν ὄντες οἱ ἥσσονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι· ἀλλ' ἐπειδάν γε εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομίζουσι καθεστάναι. ὁ δὲ τύραννος οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ, ἐν ἀκινδύνῳ ἐστὶν, ἀλλ' ἐνταῦθα δὴ καὶ μάλιστα φυλακτέον οἴεται εἶναι.

ια'. Ἔπειτα τοῖς μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις· τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίγνεται, οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαῤῥήσειε.

ιβ'. Καὶ πόλεμοι μὲν δή εἰσιν, οὕς τε αἱ πόλεις πολεμοῦσι,

καὶ

9. Deinde privati homines, licet hoſtilem in agrum militatum abeant, nihilominus ubi domum redierunt; eſſe tutos ſeſe arbitrantur. At tyranni poſteaquam ad civitatem ſuam pervenerint, inter hoſtes ſe plurimos eſſe ſciunt.

10. Quod ſi qui potentiores adverſus urbem aliquam expeditionem ſuſcipiant, ac minus potentes forte extra mœnia fuerint; eſſe quidem illi videntur in periculo, verum poſteaquam intra munitionem ſeſe receperint, omnes in tuto ſe eſſe credunt. Tyrannus autem ne tum quidem, quum domum ingreſſus fuerit, expers eſt periculi; omninoque iſtic maxime ſibi cavendum arbitratur.

11. Præterea privati homines, per fœdera & pacem, belli moleſtia liberantur; regibus vero neque pax ab iis quos regunt, conceditur, neque quiſquam tyrannus confidenter fœderibus habere fidem auſit.

12. Sunt item bella, quæ à civitatibus, & alia, quæ à regibus adverſus

ϗ οὓς οἱ τύραννοι πρὸς τοὺς βεβιασμένους. τούτων δὴ τῶν πολέμων ὅσα μὲν ἔχει χαλεπὰ ὁ συνὼν ταῖς πόλεσι ταῦτα ϗ ὁ τύραννος ἔχει.

ιγʹ. Καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους, ϗ φυλάττεσθαι, ϗ κινδυνεύειν, ϗ, ἄν τι πάθωσι κακὸν ἡττηθέντες, λυποῦνται ἐπὶ τούτοις ἑκάτεροι.

ιδʹ. Μέχρι μὲν δὴ τούτου ἴσοι οἱ πόλεμοι. ἃ δὲ ἔχουσιν ἡδέα οἱ συνόντες ταῖς πόλεσι πρὸς τὰς πόλεις, ταῦτα οὐκέτι ἔχουσιν οἱ τύραννοι.

ιεʹ. Αἱ μὲν γὰρ πόλεις δήπου, ὅταν κρατήσωσι μάχῃ τῶν ἐναντίων, οὐ ῥᾴδιον εἰπεῖν, ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσην δ᾽ ἐν τῷ διώκειν, ὅσην δ᾽ ἐν τῷ ἀποκτείνειν τοὺς πολεμίους· ὡς δὲ γαυροῦνται ἐπὶ τῷ ἔργῳ, ὡς δὲ δόξαν λαμπρὰν ἀναλαμβάνουσι, ὡς δ᾽ εὐφραίνονται τὴν πόλιν νομίζοντες ηὐξηκέναι.

ιϛʹ. Ἕκαστος δέ τις προσποιεῖται καὶ τῆς βουλῆς μετεσχηκέναι, καὶ πλείστους ἀπεκτονέναι. χαλεπὸν δὲ εὑρεῖν,

adverſus illos quos vi oppreſſerunt, geruntur: At ex his bellis quæcumque gravia moleſtaque redeunt ad eum qui civitatum partes ſequitur, ea cadunt etiam in tyrannum.

13. Nam utroſque neceſſe eſt in armis eſſe, cavere ſibi, adire pericula, & ſi quid calamitatis victis accidat, utrique dolent.

14. Atque hactenus paria ſunt utriuſque bella. Quæ vero illis jucunda accidunt, qui civitatum ſtant à partibus, apud civitates, ea tyranni non habent.

15. Etenim urbes, quum adverſarios pugna vincunt, dici facile non poteſt, quantum voluptatis ex eo percipiant, quod in fugam hoſtes egerint: quantum in perſequendo, quantum in occidendis hoſtibus: quam ob ipſum facinus exſultent, quam inſignem gloriam ſibi vindicent, quam propterea gaudeant, quod rempublicam amplificaſſe ſe exiſtimant.

16. Arrogat quiſque ſibi, quod & conſilii particeps fuerit, & plurimos interfecerit. Ac difficulter invenias,

εὑρεῖν, ὅπου οὐχὶ καὶ ἐπιψεύδονται, πλέονας φάσκοντες ἀπεκτονέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν. οὕτω καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πόλιν νικᾷν.

ιζʹ. Ὁ δὲ τύραννος, ὅταν ὑποπτεύσῃ, καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους τινὰς ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν, ἐπίσταταί τε ὅτι μειόνων ἄρξει, φαιδρός τε οὐ δύναται εἶναι, οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ· ἀλλὰ καὶ μειοῖ καθ᾽ ὅσον ἂν δύνηται τὸ γεγενημένον, καὶ ἀπολογεῖται ἅμα πράττων, ὡς οὐκ ἀδικῶν πεποίηκεν. οὕτως οὐδ᾽ αὐτῷ δοκεῖ καλὰ τὰ ποιούμενα εἶναι.

ιηʹ. Καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφοβήθη, οὐδέν τι μᾶλλον τούτου θαῤῥεῖ, ἀλλὰ φυλάττεται ἔτι μᾶλλον, ἢ τὸ πρόσθεν. καὶ πόλεμον μὲν δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δηλῶ.

ΚΕΦ.

invenias, ubi non etiam falſo quædam addant; quum plures ſe interemiſſe prædicant, quam reipſa ceciderint. Adeo res ipſis eſſe præclara videtur, civitatem victoria potiri.

17. Tyrannus autem, quum vel propter ſuſpiciones ſuas, vel quod revera quoſdam adverſus ſe moliri quid deprehenderit, nonnullos interficit; totam ſe urbem non amplificaturum novit, & ſcit etiam paucioribus ſe imperaturum, neque poteſt eſſe hilaris, neque ſe magnifice ob facinus ipſum effert. Immo quantum poteſt, extenuat rem geſtam, & inter agendum purgat ſeſe, quaſi non per injuriam id fecerit. Uſque adeo ne ipſi quidem honeſta, quæ facit, eſſe videntur.

18. Quod ſi etiam moriantur ii, quos metuit, nihilo magis fidenti eſt animo; ſed plus etiam ſibi, quam prius, cavet. Atque hoc modo tyrannus bello perpetuo vexatur, ut indicavi,

CAP.

ΚΕΦ. γ'.

Φιλίας δ' αὖ καταθέασαι ἧς κοινωνοῦσιν οἱ τύραννοι. πρῶτον μὲν, εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα.

β'. Ος γὰρ ἂν φιλῆται δήπου ὑπό τινων, ἡδέως μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ' εὖ ποιοῦσι, ποθοῦσι δὲ ἄν που ἀπίῃ, ἥδιστα δὲ πάλιν προσιόντα δέχονται, συνήδονται δ' ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς, συνεπικουροῦσι δὲ, ἐάν τι σφαλλόμενον ὁρῶσιν.

γ'. Οὐ μὲν δὴ λέληθεν οὐδὲ τὰς πόλεις, ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀνθρώποις ἐστί. μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινὰ ἀποκτείνειν, δηλονότι διὰ ταῦτα, ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι.

δ'. Επεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνὴ,

CAP. III.

JAm mihi velim etiam amicitias, quarum tyranni participes ſunt, inſpicias. Primum, an magnum amicitia bonum ſit hominibus, conſideremus.

2. Nam ſi quis ab aliquibus diligatur, eum adeſſe ſibi lubenter vident ii qui diligunt: lubenter eidem benefaciunt, abſentem deſiderant, redeuntem jucundiſſime excipiunt, voluptatem ex rebus ipſius proſperis communem percipiunt, opem una ferunt, ſi quid adverſi accidere videant.

3. Nec ignorant urbes, amicitiam maximum ſuaviſſimumque bonum hominibus eſſe. Itaque pleriſque in urbibus ea lex valet, ut ſolos adulteros occidere liceat impune: nimirum propterea, quod eos uxorum erga maritos amicitiæ corruptores eſſe exiſtiment.

4. Nam quum mulieres caſu quodam congreſſu venereo ſunt uſæ,

γυνὴ, οὐδὲν ἧττον τούτου ἕνεκεν τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάνπερ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν.

ε΄. Τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ [φιλεῖσθαι] εἶναι, ὥστε νομίζω τῷ ὄντι αὐτόματα ἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων.

ϛ΄. Καὶ τούτου τοίνυν τοῦ κτήματος τοιούτου ὄντος μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. εἰ δὲ βούλει, ὦ Σιμωνίδη, εἰδέναι ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι.

ζ΄. Βεβαιόταται μὲν γὰρ δήπου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας, καὶ παισὶ πρὸς γονεῖς, καὶ ἀδελφοῖς πρὸς ἀδελφοὺς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους.

η΄. Εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δὲ ὑπὸ παίδων ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γεγενημένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους

καὶ

uſæ, nihilominus id quod adtinet, apud maritos in honore ſunt, ſi quidem amicitia inter ipſos inviolata conſtare putetur.

5. Tantum autem bonum eſſe judico [amari], ut exiſtimem, ei qui diligitur, tum à Diis tum ab hominibus ultro bona quædam contingere.

6. Atque in hac tali poſſeſſione deterior inprimis eſt regum quam aliorum conditio. Quod ſi, mi Simonides, ſcire vis, num vera loquar, ſic rem conſiderato.

7. Firmiſſimæ videntur eſſe amicitiæ parentum erga liberos, liberum erga parentes, fratrum erga fratres, uxorum erga maritos, ſodalium erga ſodales.

8. Quod ſi ergo rem animadvertere voles, invenies privatos homines ab his maxime diligi: quum interim complures tyranni liberos ſuos occiderint, complures ſuis à liberis interfecti ſint, multi fratres in uſurpatione tyrannidum mutuis ſe cædibus confecerint, multi denique tyranni tum ab uxoribus ſuis,

tum

καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι.

θʹ. Οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖσθαι καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται, πῶς ὑπ᾽ ἄλλου γέ τινος οἴεσθαι χρεῶν αὐτοὺς φιλεῖσθαι;

ΚΕΦ. δʹ.

Ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους; ποία δ᾽ ἂν ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς ἀπιστούμενος;

βʹ. Καὶ τούτου τοίνυν, τοῦ πιστῶς πρός τινας ἔχειν, ἐλάχιστον μέτεστι τυράννῳ· ὁπότε γε οὔτε σιτίοις κρατίστοις οὔτε ποτοῖς πιστεύων διάγει, ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπο-

tum ſodalibus qui amiciſſimi viderentur, interemti ſint.

9. Qui ergo apud illos, quos ut maxime diligamus, à natura comparatum eſt, ſimul legibus etiam ad hoc nos compellentibus, tanto ſunt in odio: quo pacto exiſtimandum eſt, eos ab alio quopiam diligi?

CAP. IV.

PRæterea cui quamminimum fidei habetur, qui non magno in bono ceteris inferior eſt? Nam quæ tamdem familiaritas abſque fide mutua jucunda fuerit? quæ inter virum ac feminam abſque fide conſuetudo delectationem habere poteſt? quis miniſter gratus fuerit, ſi fides ei non habeatur?

2. Itaque hoc etiam, nimirum ut fidem quis aliis habeat, parum admodum ad tyrannum pertinet: quando ſic vivit, ut neque præſtantiſſimis cibis, neque potui fidem habere poſſit; ſed primum famulos deguſtare hos jubet antequam Diis primitiæ offerantur, idque propter diffi-

ἀπογεύεσθαι, διὰ τὸ ἀπιστεῖν μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν.

γ'. Ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις πλείστου ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους, δορυφοροῦσι δ' ἐπὶ τοὺς κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν.

δ'. Οὕτω δὲ πόῤῥω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα καθαρεύειν· ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν.

ε'. Τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀντέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τύραννον· καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτο ποιησάντων.

ϛ'. Εἰ

diffidentiam, ne forte vel in his mali aliquid aut comedat, aut bibat.

3. Quinetiam patria ſua cuique reliquorum hominum maximo eſt in pretio. Nam cives mutuo ſe quaſi ſatellitio quodam ſine ſtipendio adverſus ſervos tuentur, itemque adverſus facinoroſos, ut ne quis civium morte violenta è medio tollatur.

4. Atque hac in cuſtodia mutua cives eo ſunt progreſſi, ut à multis lata lex ſit; qua ſancitur, ut ne his quidem purus habeatur, qui cum homicida verſetur. Quo fit, ut beneficio patriæ ſuæ quiſque civium tuto vivat.

5. At in tyrannis contraria ratio eſt. Tantum enim abeſt ut horum mortem civitates ulciſcantur, ut etiam magnis honoribus eum adficiant, qui tyrannum interfecerit. Tantum item abeſt ut à ſacris eos arceant, quemadmodum ſolent interfectores privatorum hominum: ut etiam imagines tale quid deſignantium in templis ſtatuant.

6. Quod

ϛʹ. Εἰ δὲ σὺ οἴει, ὡς πλείω ἔχων ἰδιωτῶν κτήματα ὁ τύραννος, διὰ τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ τοῦτο οὕτως ἔχει, ὦ Σιμωνίδη, ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτο αὐτοὺς εὐφραίνει, ἀλλ' ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ· οὕτω καὶ ὁ τύραννος, οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ' εὐφραίνεται, ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυπεῖται. τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὐτῷ τοῦ πλούτου εἶναι.

ζʹ. Οὐδέ γε θᾶττόν τι γίγνεται τῷ τυράννῳ, ἢ τῷ ἰδιώτῃ, ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης οἰκίας, ἢ ἀγροῦ, ἢ οἰκέτου ἐπιθυμεῖ· ὁ δὲ τύραννος, ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν· ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδυνότερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων.

ηʹ. Ἀλλὰ μέντοι καὶ πένητας ὄψει οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν,

6. Quod ſi tu tyrannum exiſtimas, propterea quod fortunas, quam privati homines, ampliores habeat, etiam majorem ex iis voluptatem percipere; ne id quidem ita ſe habet, mi Simonides: ſed quemadmodum athletæ non quum imperitos ſuperant, lætantur; ſed ubi ab adverſariis ſuperantur, tum ſcilicet ingenti moleſtia adficiuntur: ſic & tyrannus non quum plura poſſidere videtur, quam privati homines, gaudet; ſed magnum ex eo dolorem percipit, ſi minus quam tyranni ceteri, habeat. Nam hos in opibus adverſarios ſuos eſſe ſtatuit.

7. Neque citius tyranno, quod concupiſcit, obtingit; quam homini privato. Homo enim privatus vel domum, vel fundum, vel ſervum adpetit: tyrannus autem vel oppida, vel regionem amplam, vel portus, vel munitas arces: quæ quidem majori cum difficultate ac periculo adquiruntur, quam quæ privati homines concupiſcunt.

8. Quinetiam non tam paucos, inter homines privatos, pauperes videbis,

ἰδιωτῶν, ὡς πολλοὺς τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ἱκανὰ, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ πολλά ἐστι, τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα.

θ΄. Τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧσσον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ᾽ ἡμέραν, ὅπῃ βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι. τὸ δὲ τούτων συντέμνειν, ὄλεθρος δοκεῖ τις εἶναι.

ι΄. Επειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου, ὅσων δέονται, τί τούτους οἰκτείρει τις ὡς πένητας; ὅσοι δ᾽ ἀναγκάζονται δι᾽ ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις, καὶ πένητας δικαίως νομίζοι.

ια΄. Οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως

καὶ

videbis, quam multos, inter tyrannos. Quippe numero nec ea quæ multa ſunt, nec quæ ſufficiunt, æſtimantur; ſed ex uſu. Quo fit, ut quæ ſuperant ultra id quod ſatis eſt, multa ſint: quæ vero ſunt infra id quod ſufficit, pauca.

9. Tyranno igitur multis partibus plura minus ad neceſſarios ſumptus ſufficiunt, quam homini privato. Nam privatis licet præcidere ſumtus quotidianos, ex animi arbitratu; quod in tyranno locum non habet. Etenim maximos ſumtus, eoſque ſumme neceſſarios in excubias vitæ faciunt, de quibus ſi quid decidatur, id cum ipſorum exitio conjunctum eſſe videtur.

10. Deinde quicumque habere juſta ratione poſſunt quantum requirunt, cur eos quis miſeretur ut inopes? at qui ob egeſtatem malum ac turpe quid excogitare, de quo vivant, coguntur: cur non illos & miſeros, & pauperes eſſe, merito quis exiſtimet?

11. At enim tyranni plurimis rebus per injuriam, tum fana,

καὶ ἱερὰ, καὶ ἀνθρώπους, διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. ὥσπερ γὰρ πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν, ἢ ἀπολωλέναι.

ΚΕΦ. ε΄.

Χαλεπὸν δ᾽ ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν τοὺς κοσμίους γε καὶ σοφοὺς καὶ δικαίους, τούτους δ᾽ ἀντὶ τοῦ ἄγασθαι, φοβοῦνται· τοὺς μὲν ἀνδρείους, μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σοφοὺς, μήτι μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ᾽ αὐτῶν προστατεῖσθαι.

β΄. Οταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαίρωνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ᾽ ἢ οἱ ἄδικοί τε, καὶ ἀκρατεῖς, καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται, ὥσπερ οἱ τύραννοι, τὰς πόλεις,

ſana, tum homines ſpoliare coguntur; propterea quod ipſis ad ſumtus neceſſarios ſemper pecuniis opus ſit. Etenim perinde ac ſi bellum geratur, vel copias ſemper alant vel intereant, neceſſe eſt.

CAP. V.

EXponam vero tibi, mi Simonides, etiam aliam quamdam regum ſane gravem calamitatem. Etenim non minus norunt quam privati homines, quinam egregii uiri ſint, & ſapientes, & juſti: ſed quum eos ſuſpicere deberent, metuunt; fortes quidem, ne quid libertatis cauſſa audeant; ſapientes, ne quid artificioſe moliantur; juſtos, ne plebs eos ſibi præeſſe cupiat.

2. Quum vero hujuſmodi homines è medio propter metum ſuſtulerint, quinam alii ſunt ipſis reliqui, quorum ſcilicet uti opera poſſunt, quam injuſti, intemperantes, ſerviles? Injuſti, quod his fides habeatur, utpote qui metuunt æque, ac tyranni, ne ad

πόλεις, μήποτε ἐλεύθεραι γενόμεναι, ἐγκρατεῖς αὐτῶν γένωνται· οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα· οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι.

γ'. Χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι.

δ'. Ετι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι. ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο, οὔτ' εὐδαιμονεῖν. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. οὔτε γὰρ ἀλκίμους, οὔτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον, καὶ τούτοις χρῶνται δορυφόροις.

ε'. Ἀλλὰ μὴν οὐδ' ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. ἐνδεεστέροις γὰρ οὖσι ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

ΚΕΦ.

ad libertatem urbes adſpirent, ac ipſos ſuam in poteſtatem redigant: intemperantes, ob præſentem poteſtatem: ſerviles, quod ne ipſi quidem liberi eſſe cupiant.

3. Quapropter equidem arbitror, hanc etiam calamitatem gravem eſſe, quod alios quidem viros bonos eſſe ducant, aliis vero uti cogantur.

4. Præterea neceſſe eſt, etiam tyrannum civitatis ſuæ ſtudioſum eſſe, quippe qui abſque civitate neque ſalvus eſſe poſſit, neque beatus. At cogit eadem tyrannis quoſdam, ut patriam quoque ſuam culpa gravent. Nec enim cives ſuos fortes efficere, nec armis inſtruere gaudent: ſed magis ipſis volupe eſt, exterorum potentiam ſupra cives amplificare, atque his ſatellitum loco utuntur.

5. Quinetiam quum proventus annonæ benignior omnium bonorum ubertatem adfert, ne tum quidem tyrannus communem cum ceteris voluptatem percipit. Exiſtimat enim, ſuos in rerum inopia humilioribus animis futuros.

CAP.

ΚΕΦ. ϛ'.

Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος ὅτ᾽ ἦν ἰδιώτης, νῦν ἐπεὶ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν.

β'. Ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοὶ, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι. διῆγον δ᾽ ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε, καὶ θαλίαις, καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοίτης ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων.

γ'. Νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοὶ, διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους. ἀπεστέρημαι δ᾽ αὖ τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν, διὰ τὸ μηδεμίαν

CAP. VI.

Volo autem tibi, mi Simonides, etiam illas voluptates exponere, quibuſcumque, dum privatus adhuc eſſem, utebar; ſpoliatus eis, uti quidem animadverto, poſteaquam regnum adeptus ſum.

2. Verſabar cum æqualibus, quorum ego conſuetudine delectabar, ſicut & illi mea: verſabar & mecum ſolo, ſi quando quietem expeterem. Aderam ſæpenumero conviviis eo uſque, dum omnium obliviſcerer, quæ hominum in vita moleſta eveniunt: ſæpenumero dum cantilenis, hilaritatibus, choreis animum commiſcerem: ſæpenumero quamdiu tum mihi tum iis qui aderant, collubitum fuiſſet.

3. Nunc vero ſpoliatus iis ſum, quæ mihi jucunda erant; idque propterea, quod amicorum loco, ſervorum ſodalitio utar: ſum item ſpoliatus dulci eorum conſuetudine, propterea quod nullam in eis

ἐνορῷν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν. μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττομαι.

δ'. Τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάσσοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὐτὸν, μήθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα;

ε'. Ετι δὲ ξένοις μᾶλλον μὲν ἢ πολίταις πιστεύειν, βαρβάροις τε μᾶλλον ἢ Ελλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, οὐ πάντα σοι ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι;

ϛ'. Ο γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν· ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λυμεὼν γίγνεται.

ζ'. Εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνή-

amplius erga me benevolentiam perſpiciam. Ebrietatem ac ſomnum non aliter atque inſidias vito.

4. Jam quod hominum turbam metuo, quod è contrario ſolitudinem; quod cuſtodum abſentiam, quod ipſos etiam cuſtodes; quod neque inermes eos circum me habere volo, neque armatos lubenter adſpicio; quo pacto non res eſt ærumnoſa?

5. Præterea plus exteris habere fidei, quam civibus; barbaris, quam Græcis; cupere ingenuis hominibus ut ſervis uti, contraque cogi ad concedendam ſervis libertatem; hæc omnia non tibi eſſe videntur indicia perculſi à terroribus animi?

6. Neque ſolum metus ipſe in animis moleſtiam doloremque creat, ſed etiam exiſtit voluptatum omnium quoddam exitium, dum me comitatur.

7. Quod ſi tu quoque, Simonides, res bellicas expertus es, atque aliquando adverſus hoſtilem phalangem in acie conſtitiſti: quan-

ἀναμνήσθητι ποῖον μέν τινα σῖτον ἥρου ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ.

η'. Οἷα μέντοι σοὶ τότ' ἦν τὰ λυπηρὰ, τοιαῦτ' ἐστὶ τὰ τῶν τυράννων, καὶ ἔτι δεινότερα. οὐ γὰρ ἐξ ἐναντίας μόνον ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι.

θ'. Ταῦτα δ' ἀκούσας ὁ Σιμωνίδης, ὑπολαβὼν εἶπεν· ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος φοβερὸν μέν· ἀλλ' ὅμως, ὦ Ἱέρων, ἡμεῖς τε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας προκαθιστάμενοι, θαρραλέως δείπνου τε καὶ ὕπνου τυγχάνομεν.

ι'. Καὶ ὁ Ἱέρων ἔφη· ναὶ μὰ Δία, ὦ Σιμωνίδη· αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι, ὥστε περὶ ἑαυτῶν φοβοῦνται, καὶ ὑπὲρ ὑμῶν. οἱ δὲ τύραννοι μισθοῦ φύλακας ἔχουσιν, ὥσπερ θεριστάς.

ια'. Καὶ δεῖ μὲν δήπου τοὺς φύλακας μηδὲν οὕτω ποιεῖν δύνασθαι, ὡς πιστοὺς εἶναι· πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν, ἢ πάνυ πολλοὺς ἐργάτας, ὁποίου βούλει ἔργου,

ἄλλως

quantum id temporis cibi ſumſeris, recordare, qualique ſomno ſis uſus.

8. Nimirum quales tum moleſtias experiebaris, tales tyranni experiuntur, atque etiam graviores. Non enim hoſtes ſolum ex adverſo, ſed omni ex parte videre ſe putant.

9. Quæ quum Simonides audiviſſet: Videris, inquit; mihi quædam nimium bene dicere. Bellum enim terribile quidem illud eſt, ſed tamen nos quum militamus, Hiero, excubiis ante caſtra collocatis, ſecure tum cœnamus tum dormimus.

10. Et Hiero: Ita eſt profecto, inquit: Nimirum leges ante illos ipſos excubant, quo fit ut & ſuo & veſtro nomine in metu ſint. At tyranni cuſtodes habent ſtipendio conductos, perinde ac meſſores.

11. Et requiritur ſane potiſſimum ab illis cuſtodibus fides, verum fidelem unum cuſtodē multo difficilius inveneris, quam multos admodum operarios, quodvis tandem opus exerceant: præſertim

ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα πάρωσιν οἱ φυλάσσοντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσι.

ιβ'. Ο δ' ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ' ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐδὲ ταῦθ' οὕτως ἔχει.

ιγ'. Φίλους μὲν γὰρ πῶς ἂν νομίσειας ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ' ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὅ,τι γὰρ ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν αὑτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται.

ιδ'. Εχθροὺς δ' αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν ὅτι ἐχθροὶ αὐτῶν εἰσι πάντες οἱ τυραννούμενοι; τούτους δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε.

ἢ

ſertim ſi cuſtodes, quos diximus, pecuniæ cauſſa adſint, atque liceat eis, interfecto tyranno, multo majorem pecuniæ vim exiguo tempore conſequi, quàm, diu pro tyranno excubantes, ab eo accipiant.

12. Jam quod felices nos prædicaſti, ut qui amicos maxime beneficiis adficere poſſimus, & hoſtes faciliime noſtram in poteſtatem redigere, ne id quidem ita comparatum eſt.

13. Nam quo pacto exiſtimare poſſis unquam de amicis bene te promeritorum, ſi planè noris, eum qui accipit ab te plurima, lubentiſſime tuo ex conſpectu abire quamprimum cupere? Quidquid enim abs tyranno quis accipit, ejus nihil eſſe ſuum arbitratur, prius quam ex illius poteſtate evaſerit.

14. Et quo pacto dicere poſſis, tyrannis facultatem imprimis non deeſſe, redigendi hoſtes in poteſtatem ſuam, quum certo ſciant, omnes illos ſe hoſtes habere, qui eorum imperio ſubjecti ſunt? At illos omnes neque occidere, neque vinculis conſtringere poſſunt.

Nam

* ἢ τίνων γὰρ ἔτι ἄρξει; ἀλλ᾽ εἰδότα, ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν φυλάττεσθαί τε δεῖ, καὶ χρῆσθαι δ᾽ αὐτοῖς ἀναγκάζεσθαι.

ιε΄. Εὖ δ᾽ ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅτι καὶ οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ᾽ ἀποκτείνουσιν.

ιϛ΄. Ὥσπερ γὰρ καὶ ἵππος, εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς δὲ μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι διὰ τὴν ἀρετήν, χαλεπῶς δὲ ζῶντι χρῷτο, εὐλαβούμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται.

ιζ΄. Καὶ τἆλλά γε κτήματα, ὅσα χαλεπὰ μέν, χρήσιμα δ᾽ ἐστίν, ὁμοίως ἅπαντα λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλλασσομένους.

Nam in quos tandem imperium eſſet? Nimirum neceſſe eſt, eum, non ignorantem, ſe illos hoſtes habere, ſimul & cavere ſibi ab eis, & opera tamen ipſorum uti.

15. Hoc quoque ſcire debes, mi Simonides, à tyrannis etiam illos cives, quos metuant, magna cum moleſtia vivos adſpici, neque cum minore occidi.

16. Perinde atque equum, qui bonus quidem ille ſit, metuatur autem, ne quod immedicabile det malum, haud facile quis ob virtutem interficit, nec facile eo vivo utitur; dum cavet, ne in periculis malum inſanabile ſibi creet.

17. Itidem res aliæ, quæcumque moleſtiam quamdam cum utilitate conjunctam habent, tum poſſidentibus tum abjicientibus eas dolorem adferunt.

ΚΕΦ. ζ'.

Ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν. Ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμή, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι.

β'. Καὶ ὑμεῖς, ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης, ὁπόσα λέγεις, τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν, ὅπως τιμᾶσθε, καὶ ὑπηρετοῦσι μὲν ἡμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως, περιβλέπουσι δὲ πάντες, ὑπανίστανται δ' ἀπὸ τῶν θάκων, ὁδῶν τε παραχωροῦσι, γεραίρουσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς. τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις οἱ ἀρχόμενοι, * καὶ ἄλλον ὅντινα ἀεὶ τιμῶντες τυγχάνουσι.

γ'. Καὶ γάρ μοι δοκεῖ, ὦ Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ

τῶν

CAP. VII.

His ex ipſo auditis Simonides: Magnum, inquit, eſſe quiddam honos videtur, Hiero, quem qui adpetunt, laborem omnem ſubeunt, omne periculum ſuſtinet.

2. Vos quoque, ceu videtur, utut tantum moleſtiarum tyrannis habeat, quantum commemoras: nihilominus præcipiti ad eam impetu ferimini, ut nimirum honorem adipiſcamini, atque ut vobis omnes in omnibus, quæ mandatis, ulla ſine recuſatione inſerviant, univerſi vos reſpiciant, de ſellis adſurgant, de via cedant; omnes denique familiares veſtri ſemper vobis tum verbis tum factis honorem deferant. Nam hujuſmodi quidem certe quædam ſubditi regibus exhibent, atque alium etiam quemcunque honore ſemper adficere non deſinunt.

3. Etenim videtur, Hiero, ceteris ab animantibus homo in hoc

τῶν ἄλλων ζώων, τῷ τιμῆς ὀρέγεσθαι· ἐπεὶ σιτίοις τε, καὶ ποτοῖς, καὶ ὕπνοις, καὶ ἀφροδισίοις πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία οὔτ᾽ ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, οὔτ᾽ ἐν ἅπασιν ἀνθρώποις. οἷς δ᾽ ἂν ἐμφυῇ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοί εἰσιν ἤδη οἱ πλεῖστον μὲν τῶν βοσκημάτων διαφέροντες, ἄνδρες δὲ, καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι.

δ΄. Ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι, ἐπείπερ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ οὐδεμία ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη.

ε΄. Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων· Ἀλλ᾽, ὦ Σιμωνίδη, καὶ αἱ τιμαὶ τῶν τυράννων ὅμοιαι ἐμοὶ δοκοῦσιν εἶναι, οἷάπερ ἐγώ σοι τὰ ἀφροδίσια ὄντα αὐτῶν ἀπέδειξα.

ϛ΄. Οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουργίαι χάριτες ἡμῖν ἐδόκουν εἶναι, οὔτε τὰ ἀφροδίσια τὰ βίαια, ἡδέα

hoc mihi differre, quod honoris ſit cupidus. Nam de cibis, potu, ſomno, re venerea, conſentaneum eſt, pari quodam modo animalia cuncta voluptatem percipere. Verum ambitio neque animantibus rationis expertibus à natura ineſt, neque cuivis homini. Quibus autem honoris ac laudis innata eſt cupiditas, illi vero ſunt, qui plurimum à pecudum natura differunt, ac viri plane, non homines duntaxat exiſtimantur.

4. Quo fit, ut equidem arbitrer, merito vos omnia in regno, quæ fertis," ferre, quando ſupra mortales cæteros vobis honos defertur. Nulla enim voluptas humana videtur ad divinam accedere propius, quam ea, quæ ex honoribus percipitur, delectatio.

5. Ad hæc Hiero: Verum, mi Simonides, ait, etiam tyrannorum honores illis mihi conſimiles venereis congreſſibus eſſe videntur, qualibus eos uti demonſtrabam.

6. Nam neque obſequia eorum qui non redamarent, pro gratificationibus habenda videbantur; neque congreſſus venerei vi extorti, voluptati

ἡδέα ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουργίαι αἱ ἀπὸ τῶν φοβουμένων τιμαί εἰσι.

ζ'. Πῶς γὰρ ἂν φαίημεν ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας, ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας τοῖς κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας, παραχωρεῖν;

η'. Καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις οὓς μισοῦσι, καὶ ταῦτα ὅταν μάλιστα φοβῶνται μήτι κακὸν ὑπ' αὐτῶν πάθωσιν. ἀλλὰ ταῦτα μὲν, οἶμαι, δουλείας ἔργα εἰκότως ἂν νομίζοιτο, αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι.

θ'. Ὅταν γὰρ οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνταί τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθὸν, ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανιστῶνται, φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς

καὶ

voluptati eſſe. Eodem ſcilicet modo nec obſequia præſtita ab illis qui nos metuunt, pro honoribus haberi debent.

7. Nam qui dicere poſſimus, eos qui vi coacti de ſellis adſurgunt, idcirco ſurgere, quod homines injuſtos honore cupiant adficere? Vel eos qui ſuperioribus de via cedunt, idcirco decedere, ut injuſtos homines honore adficiant?

8. Plerique certe etiam iis quos odere, munera largiuntur; idque tum maxime, quum metuunt, ne quid ipſis mali ab eis accidat. Verum hæc mea quidem ſententia ſervilia putari merito debent, quum honores ex eis oriantur, quæ his ſunt contraria.

9. Nam quum hominum ea eſt opinio, ut quis ad bene de ipſis promerendum ſatis ſit idoneus, ejuſque ſe bonis fruituros arbitrantur: tum vero ſi eum & prædicando in ore habeant, & tamquam bonum proprium ſinguli ſpectent, ac lubentibus animis ei de via cedant, de ſellis adſurgant, cum benevolentia, non metu, virtutis ac beneficiorum in rempublicam

cauſſa

καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, ὃ αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσιν τιμᾶν τε τοῦτον ἀληθῶς, οἱ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιούμενος, τιμᾶσθαι τῷ ὄντι.

ι'. Καὶ ἔγωγε τὸν μὲν οὕτω τιμώμενον μακαρίζω. αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως καὶ ἀνεπιφθόνως καὶ ἀκινδύνως καὶ εὐδαιμόνως τὸν βίον διάγοντα. ὁ δὲ τύραννος, ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ Σιμωνίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει.

ια'. Επεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμωνίδης· καὶ πῶς, ἔφη, ὦ Ιέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλου κακοῦ; οὔτε σὺ, οὔτε ἄλλος μὲν δὴ οὐδεὶς πώποτε ἑκὼν * εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ ἂν ἅπαξ κτήσαιτο.

ιβ'. Οπ,

cauſſa coronis ornent, munera largiantur: videntur mihi & illi, quotquot hæc obſequia præſtant, revera ipſum honore proſequi; pariterque is, quem his dignantur, revera honore adfici.

10. Quinetiam illum, cui talis honos defertur, felicem prædico. Nam animadverto, inſidias ei nullas fieri, ſed aliis eſſe curæ, ne quid ipſi accidat: adeoque hunc metus, invidiæ, periculi expertem, ævum beatum agere. Tyrannus autem, ſat ſcito, mi Simonides, neque noctu, neque interdiu vivit aliter, atque ſi propter injuſtitiam damnatus ad mortem ab hominibus univerſis eſſet.

11. Poſteaquam hæc omnia Simonides audiviſſet: Qui vero fit, inquit, Hiero, quod quum tam ærumnoſa res ſit regno potiri, idque tu animadverteris, tanto malo temet non liberes? Nimirum nec tu, nec quiſquam alius umquam ſponte ſua regnum reliquit, poſteaquam ſemel id nanctus eſſet.

ιβ′. Ὅτι, ἔφη, ὦ Σιμωνίδη, ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυραννίς. οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος ἢ χρήματα ἐκτίνων, ὅσοις ἀφείλετο, ἢ δεσμοὺς ἀντιπαράσχοι, ὅσους δὴ ἐδέσμευσεν, ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας;

ιγ′. Ἀλλ' εἴπερ τῳ ἄλλῳ, ὦ Σιμωνίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι (ἔφη) ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν, οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.

ΚΕΦ. η′.

Καὶ ὁ Σιμωνίδης ὑπολαβὼν, εἶπεν· ἀλλὰ τὸ μὲν νῦν, ὦ Ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα οὐ θαυμάζω, ἐπείπερ ἐπιθυμῶν φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἐμποδών σοι τοῦτο νομίζεις αὐτὴν εἶναι. ἐγὼ μέντοι

ἔχειν

12. Quia enim, ait, mi Simonides, hac ipſa in parte miſerrimum quiddam eſt tyrannis. Nec enim ea quis liberari poteſt. Nam qui tamdem tyrannus quiſpiam tantum opum habeat, quantum ſatis ſit ad perſolvendum iis quibus abſtulit ſua? qui compenſare poſſit iis vincula, quos vinculis conſtrinxit? qui tot animas occiſas iis reſtituat, quos ſuſtulit?

13. Nimirum ſi ulli alii, mi Simonides, laqueo vitam ut finiat, expedit: equidem reperio maxime tyranni è re eſſe, ut id faciat. Nam illi ſoli neque retinere, neque deponere quæ mala ſunt, expedit.

CAP. VIII.

Et Simonides hoc ipſius ſermone excepto: Te vero, inquit, non æquo eſſe erga tyrannidem animo non miror, Hiero. Quippe dum amari ab hominibus cupis, hanc eſſe tibi impedimento arbitraris. At ego

poſſe

ἔχειν μοι δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖν γε τῆς ἰδιωτείας.

β'. Ἐπισκοποῦντες δὲ αὐτὸ, εἰ οὕτως ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων καὶ χαρίζεσθαι πλείω δύναιτ᾽ ἄν. ἀλλ᾽ ἂν τὰ ὅμοια ποιῶσιν ὅ,τε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶται χάριν. ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων.

γ'. Ἰδὼν γὰρ πρῶτον προσειπάτω τινὰ φιλικῶς ὅ,τε ἄρχων καὶ ὁ ἰδιώτης, ἐν τούτῳ τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ, ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτὸν, τὸν ποτέρου δοκεῖς ἔπαινον ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος, τὴν παρ᾽ ὁποτέρου τιμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν;

δ'. Κάμνοντα θεραπευσάτωσαν ὁμοίως, οὐκοῦν τοῦτο σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπείαι καὶ χαρὰν

poſſe me docere arbitror, imperium minime prohibere, quominus quis diligatur: immo etiam in hoc vitam privatam ſuperare.

2. Verum in hac conſideratione non ad hoc reſpiciendum eſt, num is, qui cum imperio eſt, propterea quod potentiam majorem habeat, beneficia præſtare majora poſſit; ſed ſi paria faciant, homo privatus & rex, cogites velim, uter paribus beneficiis plus ſit initurus gratiæ. Ordiar autem minimis ab exemplis.

3. Primum aliquem viſum amanter tum princeps, tum privatus aliquis, ſalutet: utrius compellationem magis illi, qui audiat, gratam fore arbitraris? Age vero, ſi ambo aliquem laudent, utrius prædicationem exiſtimas eo magis pertingere, ut voluptati ſit? Facta re ſacra, honore aliquem uterque adficiat; ab utro putas exhibitum honorem, majorem mereri gratiã?

4. Adverſa valetudine laborantis uterque ſimiliter curam habeat, an non clariſſime adparebit, profectam ab iis qui plurimum poſſunt curam, & officia, maximam quoque

χαρὰν ἐμποιοῦσι μεγίστην; δότωσαν δὴ τὰ ἴσα, οὐ καὶ ἐν τούτῳ σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον, ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα, δύνανται;

ε'. Ἀλλ' ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον θεώμεθά τε μᾶλλον, ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ· διαλεγόμενοί τε ἀγαλλόμεθα τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι.

ς'. Καὶ μὴν παιδικά γε (ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα) ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ' ἂν αἶσχος πρὸς ὃν ἂν τυγχάνοι ὁμιλῶν, τοῦτο ὑπολογίζεται. αὐτὸ γὰρ τὸ τετιμῆσθαι μάλιστα συνεπικοσμεῖ, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν.

ζ'. Οπότε

quoque lætitiam adferre? Donentur æqualia, annon heic etiam perſpicuum erit, ptofecta ab eis qui plurimum poſſunt, dimidia beneficia plus poſſe, quam totam hominis privati largitionem?

5. Equidem puto etiam divinitus fieri, ut hominem, qui cum imperio ſit, honor ac gratia quædam comitetur. Non tantum enim hominem pulchriorem efficit imperium, ſed eundem contemplamur magis, ubi jam nanctus eſt imperium: quam quum privatus eſſet: atque etiam magis avemus cum illis colloqui, qui eximio ſupra cæteros in honore ſunt, quam cum aliis, qui nobis ſunt pares.

6. Amores itidem (qua in parte tu maxime tyrannidem vituperabas) minime ſenectutem ejus, qui cum imperio eſt, moleſte ferunt: neque ulla ratione id turpe ducitur, cum quocumque tamdem ille converſetur. Nam ornamento eſt eis maximo, quod apud illum in honore ſunt: itaque fit, ut quæ in eo ſunt moleſta, evaneſcant; quæ vero pulcra, ſplendidius eluceſcant.

7. Enim-

ζʹ. Οπότε γε μὴν ἐκ τῶν ἴσων ὑπηρετημάτων μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς οὐκ, ἐπειδάν γε ὑμεῖς πολλαπλάσια μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει;

ηʹ. Καὶ ὁ Ιέρων εὐθὺς ὑπολαβών· ὅτι νὴ Δία, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς, πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι.

θʹ. Πρακτέον μὲν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα· ἀναγκαστέον δὲ φυλάσσειν, ὅσα δεῖται φυλακῆς· κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. καὶ ὅταν γε τάχους καιρὸς παραστῇ, ἢ πεζῇ, ἢ κατὰ θάλατταν ἐξορμᾶσθαι, οὐκ ἐπιτρεπτέον τοῖς ῥᾳδιουργοῦσιν.

ιʹ. Ετι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ. τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολίταις. οὐ γὰρ τυράννοις τιμῆς, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι.

ΚΕΦ.

7. Enimvero quum ex paribus officiis majores vos incatis gratias, & multo plura, quam nos, præſtando, juvare poſſitis alios, atque etiam multo plura largiri: cur non magis vos amari conſentaneum fuerit, quam privatos homines?

8. Et excepto ipſius ſermone Hiero: Quia, mi Simonides, inquit, neceſſe nos eſt multo etiam plura ejuſmodi agere, quam privatos, ob quæ hominum in odio ſumus?

9. Exigendæ pecuniæ, ſi quidem ad res neceſſarias ſumtus habere volumus: cogendi quidam ad cuſtodiendum ea quæ cuſtodia indigent: puniendi injuſti, & coercendi qui petulantes eſſe volunt. Quod ſi celeritatem occaſio temporis poſtulet, ad ſuſcipiendam vel terra vel mari expeditionem, non ignavis res committenda eſt.

10. Præterea mercenario milite opus eſt regi, quo nullum onus civibus gravius eſt. Arbitrantur enim, hos à tyrannis ali, non ut eis honori ſint, ſed ut viribus ipſi ſint potiores.

ΚΕΦ. θ'.

Πρὸς ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης· ἀλλ' ὅπως μὲν οὐ πάντων τούτων ἐπιμελητέον, ὦ Ἱέρων, οὐ λέγω. ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι.

β'. Τὸ μὲν γὰρ διδάσκειν ἃ ἐστὶ βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾷν, αὕτη μὲν ἐπιμέλεια διὰ χαρίτων γίγνεται. τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα λοιδορεῖν τε, καὶ ἀναγκάζειν, καὶ ζημιοῦν, καὶ κολάζειν, ταῦτα δὴ ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι.

γ'. Ἐγὼ οὖν φημί, ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι, δι' αὐτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα.

δ'. Καὶ γὰρ ὅταν χοροὺς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἁθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς,

CAP. IX.

Ad quæ rurſus Simonides: Ego vero, mi Hiero, non nego harum omnium rerum curam ſuſcipiendam eſſe: ſed tamen videntur mihi curationes aliæ in odium adducere, aliæ magna cum gratia conjunctæ eſſe.

2. Nam docere, quæ optima ſunt, & pulcherrime illa præſtantem prædicare atque in honore habere, ea curatio cum gratia quadam fit. At eum, qui non recte aliquid agit, convitiis inceſſere, cogere, multare, punire: hæc vero cum odio quodam fieri neceſſe eſt.

3. Quamobrem aio equidem, id quod neceſſitas requirit, debere illum qui cum imperio eſt, aliis puniendum mandare: præmia vero per ſeipſum largiri. Quod ſane recte fieri, rerum eventa teſtantur.

4. Nam quum choros decertare volumus, præmia quidem præfectus ipſe proponit, congregandi autem ipſos munus choragis

χορηγοῖς, καὶ ἄλλοις, διδάσκειν καὶ ἀνάγκην προστεθῆναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. Οὐκοῦν εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δ' ἀντίτυπα δι' ἄλλων.

ε'. Τί οὖν κωλύει καὶ τἆλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις αἱ μὲν κατὰ φυλάς, αἱ δὲ κατὰ μοίρας, αἱ δὲ κατὰ λόχους· καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν.

ϛ'. Οὐκοῦν εἴ τις καὶ τούτοις (ὥσπερ τοῖς χοροῖς) ἆθλα προτιθείη καὶ εὐοπλίας, καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίαν εὐτόνως ἀσκεῖσθαι.

ζ'. Καὶ ναὶ μὰ Δία ὁρμῷντο ἂν θᾶττον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη, καὶ (τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράττεσθαι)

ἡ

ragis datur, itemque aliis, docendi, & cogendi eos qui non ſat recte aliquid præſtent. Ita ſtatim heic quod cum gratia conjunctum eſt, per præfectum ipſum curatur: quæ vero dura ſunt, per alios.

5. Quid igitur impedimento ſit, quominus etiam res civiles ceteræ conſimili ratione peragantur? Diviſæ ſunt enim urbes univerſæ partim in tribus, partim in claſſes, partim in centurias, ac ſingulis partibus præfecti quidã ſunt.

6. Quamobrem ſi quis his quoque (tamquam choris) præmia proponeret ob inſignem armaturam, ob ordinis obſervationem, ob rem equeſtrem, ob fortitudinem militarem, ob juſtitiam in commerciis: conſentaneum eſſet, futurum ut etiam hæc omnia per contentionẽ acriter exercerentur.

7. Ac profecto ad id, quo opus eſſet, celerius impellerentur, ſi quidem honoris cupiditate ducerentur: itemque citius pecuniam conferrent, quando ſic uſus poſtularet: & (quod quidem fructuoſiſſimum eſt, quamquam per contentionem agi minime conſueverit)

ipſa

ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη κατ᾽ ἀγροὺς, ἢ κατὰ κώμας τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις πολλὰ ἂν ἀγαθὰ περαίνοιτο.

η΄. Καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ᾽ ἂν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ. καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται.

θ΄. Εἰ δὲ καὶ ἐμπορεία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, οὐδ᾽ αὕτη ἂν ἡ σκέψις ἀργοῖτο.

ι΄. Ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖσθαί τι ἀγαθόν. καὶ ὅταν γε πολλοῖς περὶ

ipſa agricultura magnum incrementum ſumeret, ſi quis per agros, vel per vicos, optime terram excolentibus præmia conſtitueret: adeoque civibus, qui totis viribus in id incumberent, multa bona conficerentur.

8. Nam & proventus augerentur, & modeſtia multo magis occupationum comes eſſet: ne dicam, etiam facinora minus in iis qui opus faciunt, exiſtere.

9. Quod ſi etiam mercatura reipublicæ commodum aliquod adfert, major mercatorum numerus excitabitur; ſi is, qui plurimum negotiatur, adfectus honore fuerit. Quod ſi futurum pateat, ut qui ſine aliorum moleſtia proventum aliquem reipublicæ excogitat, & ipſe ornetur: ne illa quidem conſideratio relinquetur.

10. Denique, ſummatim ut dicam, ſi in omnibus perſpicuum eſſet, non cariturum honore, ſi quis boni alicujus auctor extiterit: multos hoc etiam impelleret, ut ſtudioſe boni aliquid inveſtigarent. Jam ſi commoda reipublicæ

περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τι μᾶλλον καὶ ἐπιτελεῖσθαι.

ια'. Εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων προτιθεμένων, πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν ἱππικοῖς, καὶ γυμνικοῖς, καὶ χορηγικοῖς ἀγῶσιν ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας, καὶ πολλοὺς πόνους, καὶ πολλὰς ἐπιμελείας ἐξάγεται ἀνθρώπων;

ΚΕΦ. ι'.

ΚΑὶ ὁ Ἱέρων εἶπεν· ἀλλὰ ταῦτα μὲν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις, ὡς φιλίαν κτησάμενος ἄρχων, οὐδὲν ἔτι δεήσεται δορυφόρων;

β'. Ναὶ μὰ Δία, εἶπεν ὁ Σιμωνίδης, δεήσεται μὲν οὖν. οἶδα γὰρ, ὅτι

publicæ multis curæ ſint, neceſſe eſt magis aliquid inveniri, & præſtari.

11. Quod ſi metuis, Hiero, ne propoſitis ad multa præmiis, magni ſumtus fiant: cogitato, nullas eſſe merces utiliores, quam quæ præmiis rediminitur. Vides in equeſtribus, & gymnicis, & ſcenicis certaminibus, quam exiguis præmiis ingentes ſumtus, multique labores, & multa etiam hominum ſtudia eliciantur?

CAP. X.

ET Hiero: Recte tu quidem, inquit, illa mihi dicere videris, Simonides. Ceterum de ſtipendiario milite num proferre quid potes, ut videlicet propter ipſos minus in odio ſimus? an ais principem, amicitia hominum conciliata, ſatellitum opera nihil amplius egere?

2. Immo, inquit Simonides, egebit certe. Nam ſcio, perinde

ὅτι ὥσπερ ἐν ἵπποις, οὕτω ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι.

γ΄. Τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος· τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρασχεῖν, ὅσα ἀπὸ τῶν μισθοφόρων.

δ΄. Τρέφεις μὲν γὰρ δήπου καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας· ἤδη δὲ πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. εἰ οὖν ἓν πρῶτον τοῦτ' εἴη τῶν προστεταγμένον τοῖς μισθοφόροις, ὡς πάντων ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰσθάνωνται· γίγνονται δέ που (ὡς πάντες ἐπιστάμεθα) κακοῦργοι ἐν πόλεσιν· εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι.

έ. Πρὸς δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήνεσιν οὗτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα παρέχειν ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν.

inde ut equis, ita & hominibus quibuſdam accidere, ut quanto magis ipſis neceſſaria ſuppetant, tanto ſint petulantiores.

3. Hos igitur magis modeſtos reddet ortus à ſatellitibus metus: bonis autem egregiiſque viris nulla re tantum mihi poſſe prodeſſe videris, quantum his ipſis ſtipendiariis militibus.

4. Nam tui corporis cuſtodes alis, & multi jamdudum domini, vi ſuis à ſervis ſunt interemti. Quod ſi primum hoc militi mercenario imperetur, ut ſuccurrant omnibus, tamquam ſi eſſent ſatellites omnium civium, ſi quid animadverterint; quumque ſoleant (ut omnibus notum) exiſtere facinoroſi homines in civitatibus, hos quoque ſi obſervare jubeantur; ſcient cives, hanc ſe utilitatem ex eis percipere.

5. Deinde ruri opus facientibus, ac jumentis quoque, conſentaneum eſt hos & fiduciam, & ſecuritatem præſtare poſſe: idque perinde privatim tuis, atque aliis, qui paſſim in regione degunt.

χώραν. ἱκανοί γε μὴν εἰσὶ καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάσσοντες.

ς΄. Πρὸς δὲ τούτοις, καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας τίνες ἑτοιμότεροι ἢ προαισθέσθαι, ἢ κωλύσαι, τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων, καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατείᾳ τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους γὰρ προπονεῖν, καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι.

ζ΄. Τὰς δ᾽ ἀγχιτέρμονας πόλεις οὐκ ἀνάγκη διὰ τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν; οἱ γὰρ συντεταγμένοι καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ᾽ ἄν.

η΄. Ὅταν γε μὴν γνῶσιν οἱ πολῖται, ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ

καὶ

degunt. Poſſunt etiam civibus præſtare otium, per quod liceat ipſis res ſuas curare, ſi loca opportuna cuſtodierint.

6. Ad hoſtium præterea repentinas & occultas inſidias vel præſentiendas, vel impediendas, quinam paratiores fuerint, quam illi, qui ſemper armati ſunt, & uno quaſi corpore conjuncti? Etiam in ipſo bello quid civibus eſt milite ſtipendiario utilius? Nam eos & ad laborandum pro aliis, & adeundum pericula, & excubandum, promptiſſimos eſſe, conſentanenm eſt.

7. Finitimas quoque civitates an non propter eos, qui ſemper in armis ſunt, neceſſe eſt etiam pacis maxime cupidas eſſe? Nam qui merendis ſtipendiis conſcripti ſunt milites, maxime tum amicorum fortunas tueri tum hoſtium peſſundare poſſunt.

8. Jam ſi cives intelligant, hos nihil injuſte agentibus haud nocere; ſed illos impedire, qui alios lædere volunt; injuriam paſſis ſuccurrere, pro civibus &

ſollicitos

καὶ προκινδυνεύουσι τῶν πολιτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδίᾳ ἐπὶ μείοσι τούτων φύλακας.

ΚΕΦ. ια΄.

Χρὴ δὲ, ὦ Ἱέρων, οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν· καὶ γὰρ ἔμοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλούμενα μᾶλλον εἰς τὸ δέον τελεῖσθαι, ἢ τὰ εἰς τὸ ἴδιον ἀνδρὶ τυράννῳ. κάθ' ἓν δὲ ἕκαστος σκοπῶμεν.

β΄. Οἰκίαν πότερον ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε, καὶ ναοῖς, καὶ παραστάσι, καὶ ἀγοραῖς, καὶ λιμέσι κατεσκευασμένην;

γ΄. Ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς πόλεως ὅλης εὐόπλου σοι οὔσης;

δ΄. Προσό-

ſollicitos eſſe, & pericula obire: qui nos eos neceſſe eſt lubentiſſime ſumtum in hos conferre? Alunt certe privatim cuſtodes rerum etiam minoris momenti.

CAP. XI.

Neceſſe eſt etiam, mi Hiero, ut boni publici cauſſa de tuis quoque facultatibus ſumtus facere non recuſes. Nam equidem arbitror, ea, quæ civitati impendantur, utilius expendi: quam quæ rex privatim inſumit. Conſideremus ſane rem ſingillatim.

2. Utrum exiſtimas domum immenſo ſumtu elegantiſſime exſtructam ornamento tibi majori eſſe, quam ſi urbem univerſam, mœnibus, templis, columnis, foris, portubus inſtruas?

3. Num ſi armis ipſe plane formidabilibus ornatus ſis, majori hoſtibus terrori fueris; quam ſi civitas univerſa bene tibi ſit armis inſtructa?

4. Utrum

δ'. Προσόδους δὲ ποτέρως ἂν δοκῇς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι;

ε'. Τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα, ἁρματοτροφίαν ποτέρως ἂν δοκῇς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ελλήνων ἅρματα τρέφοις τε, καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο; νικᾷν δὲ πότερα δοκεῖς κάλλιον εἶναι ἅρματος ἀρετῇ, ἢ πόλεως, ἧς προστατεύεις, εὐδαιμονίᾳ;

ς'. Εγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ [illegible]λλῶν οἴκων τὰς δαπάνας ποιούμενος· νικώμενος δ' ἂν, πάντων μάλιστα καταγελῷο.

ζ'. Αλλ' ἐγώ σοι φημὶ, ὦ Ιέρων, πρὸς ἄλλους προστάτας πόλεων

4. Utrum te proventus plures putas habiturum, ſi tantum quæ privatim ad te ſpectant, ad fructum comparata tibi ſunt; an ſi viam ac rationem excogitaveris, qua cives univerſi quæſtum induſtria ſua faciant?

5. Jam quod omnium præclariſſimum & magnificentiſſimum ſtudium eſſe ducitur, utrum te putas majori cum decore currus inſtructurum, ſi unus inter omnes Græcos maximam curruum copiam inſtituas, & ad celebres illos [Græciæ] conventus mittas: an vero ſi maxima civium pars equos alat, & pluri decertent? Utrum putas eſſe pulchrius, currus præſtantia vincere; an urbis, cujus es præſes, felicitate?

6. Equidem ne convenire quidem aio, ut rex cum privatis hominibus certamine congrediatur. Nam ſi vincas, non eris in admiratione, ſed invidia, veluti qui ſumtus ex re familiari multorum facias: at ſi vincaris, maxime omnium irriſioni eris expoſitus.

7. Equidem tibi, mi Hiero, propoſitum eſſe certamen adverſus

πόλεων τὸν ἀγῶνα εἶναι, ὡς ἐὰν σὺ εὐδαιμονεστάτην τὴν πόλιν, ἧς προστατεύεις, παρέχοις, * εὖ ἔσῃ νικῶν τῷ καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι.

η'. Καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις. ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν.

θ'. Περίβλεπτος δὲ ὤν, οὐχ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν, καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης.

ι'. Καὶ ἐξείη μὲν ἄν σοι ἕνεκεν ἀσφαλείας, εἴπου βούλοιο, θεωρήσοντι πο[illegible]εσθαι, ἐξείη δ' ἂν αὐτοῦ μένοντι τοῦτο πράττειν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλομένων ἐπιδεικνύναι, εἴτις τι σοφὸν, ἢ καλὸν, ἢ ἀγαθὸν ἔχοι, τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν.

ια'. Πᾶς

adverſus aliorum urbium præſides aio, inter quos ſi tu civitatem, cujus es princeps, feliciſſimam reddas; ſcito te pulcherrimo & magnificentiſſimo inter homines certaminis genere victorem futurum.

8. Primum effeceris, ut à ſubditis tuis diligaris, quod tu quidem expetis; deinde victoriam tuam non unus præconio ſuo publicaret, ſed virtutem tuam prædicarent homines univerſi.

9. Suſpicereris itidem, ac diligereris, non ſolum à privatis hominibus, ſed à multis etiam urbibus: nec privatim eſſes in admiratione, ſed publice apud omnes.

10. Liceret tibi, ſi velles quod ſecuritatem adtinet, ſpectatum aliquo proficiſci; & heic manenti liceret hoc ipſum facere. Semper enim eſſet apud te coetus frequens eorum qui edere ſpecimina vellent, ſi quid haberent vel ſapientiæ, vel pulchræ, vel egregiæ rei; atque illorum etiam, qui tibi cuperent operam inſerviendo navare.

11. Quiſ-

ια'. Πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοι, ὁ δὲ ἀπὼν ἐπιθυμοίη ἂν ἰδεῖν σε. ὥστε οὐ μόνον φιλοῖο ἄν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων· καὶ τοὺς καλοὺς οὐ πειρᾶν, ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν ἀνέχεσθαι ἄν σε δέοι. φόβον δὲ οὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μή τι πάθῃς.

ιβ'. Ἑκόντας δὲ τοὺς πειθομένους ἔχοις ἄν, καὶ ἐθελουσίως σου προνοοῦντας θεῷο ἄν. εἰ δέ τις κίνδυνος εἴη, οὐ συμμάχους μόνον, ἀλλὰ καὶ προμάχους, καὶ προθύμους ὁρῴης ἄν· πολλῶν μὲν δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δέ, ὅτῳ τούτων εὐμενεῖ μεταδώσεις· πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, πάντας δὲ πρὸ τῶν σῶν ἰδίων ὥσπερ τῶν ἰδίων μαχομένους.

ιγ'. Θησαυροὺς γε μὴν ἔχοις πάντας τοὺς παρὰ τοῖς φίλοις πλούτους. ἀλλὰ θαρρῶν, ὦ Ἱέρων, πλούτιζε μὲν τοὺς φίλους· σαυτὸν γὰρ πλουτιεῖς. αὖξε δὲ τὴν πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις. κτῶ δὲ αὐτῇ συμμάχους.

ιδ'. Νόμιζε

11. Quiſquis adeſſet tibi, ſocius eſſe tibi vellet; & qui abeſſet, videre te cuperet. Adeoque non tantum ab hominibus diligereris, ſed etiam amareris. Forma præſtantes non ipſe tentares, ſed tentari te ab eis patereris. Non eſſet, quod tibi metueres; ſed potius alii, ne quid accideret tibi, metuerent.

12. Parerent tibi ſubditi, eoſque videres ſua ſponte de te ſollicitos eſſe. Si quid eſſet periculi, non auxiliarios tantum, ſed etiam propugnatores, eoſque alacres cerneres. Multis muneribus dignus judicareris, neque copia deeſſet, bene tibi volenti viciſſim illa impertiendi. Omnes ob commoda tua tecum gauderent, omnes pro bonis privatim tuis, tamquam propriis, dimicarent.

13. Omnes quæ apud amicos eſſent opes, theſauri tui forent. Tu vero, mi Hiero, amicos collocupletare ne dubites, quum temetipſum hoc modo ditaturus ſis. Rempublicam augeto, tibimet ipſi potentiam adjuncturus. Comparato reipublicæ belli ſocios.

ιδ΄. Νόμιζε δὲ τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολίτας, ἑταίρους· τοὺς δὲ φίλους, τέκνα σεαυτοῦ· τοὺς δὲ παῖδας, *ὅ,τι περ τὴν σὴν ψυχήν. καὶ τούτους πάντας πειρῶ νικᾶν εὖ ποιῶν.

ιε΄. Ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτῆσθαι. εὐδαιμονῶν γὰρ οὐ φθονηθήσῃ.

ΞΕΝΟ-

14. Patriam exiſtimato, domum tuam eſſe: cives, ſocios: amicos, liberos tuos: liberos, nihil aliud quam tuum ipſius animum. Atque hos omnes beneficiis ſuperare contendito.

15. Nam ſi amicos benefaciendo viceris, reſiſtere tibi hoſtes minime poterunt. Denique ſi hæc omnia præſtiteris, ſcito plane quiddam te longe humanis in rebus præclariſſimum feliciſſimumque conſequuturum; ut tametſi beatus ſis, invidiam tamen haud experiaris.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ
ΠΟΡΟΙ,
Η ΠΕΡΙ ΠΡΟΣΟΔΩΝ.

ΚΕΦ. α΄.

Ἐγὼ τοῦτο μὲν ἀεί ποτε νομίζω, ὁποῖοί τινες οἱ προστάται ὦσι, τοιαύτας καὶ τὰς πολιτείας γίγνεσθαι. ἐπεὶ δὲ τῶν Ἀθήνησι προεστηκότων ἐλέγοντό τινες, ὡς γιγνώσκουσι μὲν τὸ δίκαιον οὐδενὸς ἧττον τῶν ἄλλων ἀνθρώπων, διὰ δὲ τὴν τοῦ πλήθους πενίαν ἀναγκάζεσθαι ἔφησαν ἀδικώτεροι εἶναι περὶ τὰς πόλεις· ἐκ τούτου ἐπεχείρησα σκοπεῖν, εἴπῃ δύναιντ' ἂν οἱ πολῖται δια-

XENOPHONTIS
RATIONES REDITUUM,
SEU DE PROVENTIBUS.

CAP. I.

EQUIDEM in hac ſententia ſum perpetuo, quales ſint præſides, tales & reſpublicas eſſe. Quia vero nonnulli ex iis qui hactenus Athenienſium reipublicæ præſunt, ſcire quidem illi, quid juſtum ſit, non minus quam homines cæteri, perhibentur, at propter inopiam plebis cogi ut paulo ſe gerant erga civitates ſuas iniquius: conſiderare mecum ipſe adgreſſus ſum, an aliqua ratione cives ſuis ex διατρέφεσθαι ἐκ τῆς ἑαυτῶν, ὅθεν περ καὶ δικαιότατον· νομίζων, εἰ τοῦτο γένοιτο, ἅμα τῇ τε πενίᾳ αὐτῶν ἐπικεκουρῆσθαι ἄν, καὶ τὸ ἀνυπόπτους τοῖς Ἕλλησιν εἶναι.

β΄. Σκοποῦντι δέ μοι ἃ ἐπενόησα, τοῦτο μὲν εὐθὺς ἀνεφαίνετο, ὅτι ἡ χώρα πέφυκεν οἵα πλείστας προσόδους παρέχεσθαι. ὅπως δὲ γνωσθῇ, ὅτι ἀληθὲς τοῦτο λέγω, πρῶτον διηγήσομαι τὴν φύσιν τῆς Ἀττικῆς.

γ΄. Οὐκοῦν τὸ μὲν τὰς ὥρας ἐνθάδε πραοτάτας εἶναι, καὶ αὐτὰ τὰ γιγνόμενα μαρτυρεῖ. ἃ γοῦν πολλαχοῦ οὐδὲ βλαστάνειν δύναιτ᾽ ἄν, ἐνθάδε καρποφορεῖ. ὥσπερ δὲ ἡ γῆ, οὕτω καὶ ἡ περὶ τὴν χώραν θάλαττα παμφορωτάτη ἐστί. καὶ μὴν ὅσα περ ⓘ θεοὶ ἐν ταῖς ὥραις ἀγαθὰ παρέχουσι, καὶ ταῦτα πάντα ἐνταῦθα πρῳϊαίτατα μὲν ἄρχεται, ὀψιαίτατα δὲ λήγει.

δ΄. Οὐ μόνον δὲ κρατεῖ τοῖς ἐπ᾽ ἐνιαυτὸν θάλλουσί τε

καὶ

ex finibus alii poſſint: quæ quidem ratio eſſet juſtiſſima. Exiſtimabam enim, ſi id accideret, eadem opera conſultum inopiæ ipſorum eſſe; ipſoſque Græcis aliis minime ſuſpectos evadere.

2. Conſideranti vero mihi ea, quæ cogitaram, primum viſa eſt ipſa regio eſſe talis à natura, quæ maximam proventuum vim ſuppeditare poſſit. Atque ut intelligatur, hoc vere me dicere; primum, quæ Atticæ natura ſit, commemorabo.

3. Anni ergo tempora heic admodum eſſe mitia, fructus ipſi, qui proveniunt, teſtantur. Etenim multa, quæ alibi ne pullulare quidem poſſent, heic fructus ſuos proferunt. Atque ut ſolum ipſum, ita etiam mare, quod regionem ambit, omnium rerum feraciſſimum eſt. Quinetiam quæcunque bona Dei ſingulis anni temporibus ſuppeditant, ea bona omnia heic & tempeſtive admodum incipiunt, & tardiſſime deficiunt.

4. Neque tantum potior eſt iis quæ in annos ſingulos & florent,

&

καὶ γηράσκουσιν, ἀλλὰ καὶ ἀΐδια ἀγαθὰ ἔχει ἡ χώρα. πέφυκε μὲν γὰρ (²) λίθος ἐν αὐτῇ ἄφθονος, ἐξ οὗ κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ βωμοὶ γίγνονται, εὐπρεπέστατα δὲ θεοῖς ἀγάλματα. πολλοὶ δ' αὐτοῦ καὶ Ἕλληνες καὶ βάρβαροι προσδέονται.

ε΄. Ἔστι δὲ καὶ γῆ, ἣ σπειρομένη μὲν οὐ φέρει καρπόν, ὀρυσσομένη δὲ πολλαπλασίους τρέφει, ἢ εἰ σῖτον ἔφερε. καὶ μὴν ὑπάργυρός ἐστι σαφῶς θείᾳ μοίρᾳ. πολλῶν γοῦν πόλεων παροικουσῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς οὐδεμίαν τούτων οὐδὲ μικρὰ φλὲψ ἀργυρείτιδος διήκει.

ς΄. Οὐκ ἂν ἀλόγως δέ τις οἰηθείη τῆς Ἑλλάδος καὶ πάσης δὲ τῆς οἰκουμένης ἀμφὶ τὰ μέσα ᾠκῆσθαι τὴν πόλιν. ὅσῳ γὰρ οὖν τινες πλεῖον ἀπέχωσιν αὐτῆς, τοσούτῳ χαλεπωτέροις ἢ ψύχεσιν ἢ θάλπεσιν ἐντυγχάνουσιν. ὁπόσοι τ' ἂν οὖν βουληθῶσιν ἀπ' ἐσχάτων τῆς Ἑλλάδος ἐπ' ἔσχατα ἀφικέσθαι, πάντες οὗτοι ὥσπερ κύκλου τόρνον τὰς Ἀθήνας ἢ παραπλέουσιν, ἢ παρέρχονται.

ζ΄. Καὶ

& ſeneſcunt: ſed habet etiam hæc regio perpetua quædam bona. Nam ſaxi nativi perennis eſt in ea copia, de quo fana pulcherrima, pulcherrimæ aræ, ſigna Deorum maxime decora fiunt: quod quidem ſaxum complures & Græci & barbari deſiderant.

5. Præterea ſolum quoddam eſt, quod aratum non ferret fructum: at ſi fodiatur, multo plures alit, quam ſi frumenti ferax eſſet. Etenim divino quodam munere haud dubie ſub eo eſt argentum. Quumque multæ ſint urbes tum terra tum mari finitimæ, ne quidem in ullam earum vel exigua terræ argentiferæ vena pertinet.

6. Neque vero abſque ratione quis exiſtimet, urbem hanc Græciæ, immo vero totius terrarum orbis in medio ſitam eſſe. Quanto ſcilicet longius abſunt aliqui ab ea, tanto moleſtiora vel frigora vel æſtus experiuntur. Quotquot item ab extremis Græciæ finibus ad alios itidem extremos pergere voluerint, omnes tanquam circuli umbilicum Athenas vel prænavigant, vel prætereunt.

7. Ac

ζ'. Καὶ μὴν οὐ περίρρυτός γε οὖσα, ὅμως (ὥσπερ νῆσος) πᾶσιν ἀνέμοις προσάγεταί τε ὧν δεῖται, καὶ ἀποπέμπεται ἃ βούλεται. ἀμφιθάλασσος γάρ ἐστι. καὶ κατὰ γῆν δὲ πολλὰ δέχεται ἐμπόρεια. ἤπειρος γάρ ἐστι.

η'. Επι δὲ ταῖς μὲν πλείσταις πόλεσι βάρβαροι προσοικοῦντες πράγματα παρέχουσιν, Ἀθηναίοις δὲ γειτονεύουσιν αἳ καὶ αὐταὶ πλεῖστον ἀπέχουσι τῶν βαρβάρων.

ΚΕΦ. β'.

ΤΟύτων μὲν οὖν ἁπάντων (ὥσπερ εἶπον) νομίζω αὐτὴν τὴν χώραν αἰτίαν εἶναι. εἰ δὲ πρὸς τοῖς αὐτοφυέσιν ἀγαθοῖς πρῶτον μὲν τῶν μετοίκων ἐπιμέλεια γένοιτο. αὕτη γὰρ ἡ πρόσοδος τῶν καλλίστων ἔμοι γε δοκεῖ εἶναι, ἐπεί περ αὐτοὺς τρέφοντες, καὶ πολλὰ ὠφελοῦντες τὰς πόλεις, οὐ λαμβάνουσι μισθὸν, ἀλλὰ μετοίκιον προσφέρουσιν.

β'. Επιμέλειά γε μὴν ἤδ' ἂν ἀρκεῖν μοι δοκεῖ,

7. Ac tametſi aquis non circumfuſa eſt, nihilominus (tanquam inſula) quovis vento, quæ neceſſaria ſunt, adfert; & quæ vult, exportat; quippe quæ à mari utrinque ambiatur. Etiam terra mercatus multos admittit, quod terra ſit continens.

8. Præterea quum barbari plurimis urbibus vicini negotia faceſſant, Athenienſes vicinas illas habent civitates, quæ maximo à barbaris intervallo diſtant.

CAP. II.

HOrum igitur omnium cauſſam (ut dixi) poſitam in ipſo eſſe ſolo arbitror. Quod ſi ad nativa bona, primum accedat advenarum cura. Nam hic mihi proventus ex optimis eſſe videtur, Quippe quum illi ſeipſos alant, & multis commodis civitates adficiant; non tamen ullam mercedem accipiunt, ſed potius etiam penſionem advenis impoſitam offerunt.

2. Exiſtimo autem curam eam ſuffecturam,

κεῖ, εἰ ἀφέλοιμεν μὲν ὅσα μηδὲν ὠφελοῦντα τὴν πόλιν ἀτιμίας δοκεῖ τοῖς μετοίκοις παρέχειν, ἀφέλοιμεν δὲ καὶ τὸ συστρατεύεσθαι ὁπλίτας μετοίκους τοῖς ἀστοῖς. μέγα· μὲν γὰρ ὁ κίνδυνος ἀπὼν, μέγα δὲ καὶ τὸ ἀπὸ τῶν τέκνων καὶ τῶν οἰκιῶν ἀπιέναι.

γʹ. Ἀλλὰ μὴν καὶ ἡ πόλις γ' ἂν ὠφεληθείη, εἰ οἱ πολῖται μετ' ἀλλήλων στρατεύοιντο μᾶλλον, ἢ συντάττοιντο αὐτοῖς (ὥσπερ νῦν) Λυδοὶ, καὶ Φρύγες, καὶ Σύροι, καὶ ἄλλοι παντοδαποὶ βάρβαροι. πολλοὶ γὰρ τοιοῦτοι τῶν μετοίκων.

δʹ. Πρὸς δὲ τῷ ἀγαθῷ τῷ τούτους ἐκ τοῦ συντάττεσθαι ἀφεθῆναι, καὶ κόσμος ἂν τῇ πόλει εἴη, εἰ δοκοῖεν Ἀθηναῖοι εἰς τὰς μάχας αὐτοῖς μᾶλλον πιστεύειν, ἢ ἀλλοδαποῖς.

εʹ. Καὶ μεταδιδόντες δ' ἄν μοι δοκοῦμεν τοῖς μετοίκοις τῶν ἄλλων, ὧν καλὸν μεταδιδόναι, καὶ τοῦ ἱππικοῦ, εὐνουστέρους ἂν ποιεῖσθαι, καὶ ἅμα ἰσχυροτέραν ἂν καὶ μείζω τὴν πόλιν ἀποδεικνύναι.

ϛʹ. Εἶτα,

ſuffecturam, ſi adimamus illa, quæcunque reipublicæ nulli ſunt uſui, ac potius advenis infamiæ notam inurere videntur: itemque ſi adimamus id, quod advenæ una cùm civibus armati pedites militatum eant. Etenim magnum quiddam eſt, ſi periculum ab eis abſit; magnum, liberis & domo quemque ſua diſcedere.

3. Quinetiam utile civitati fuerit, ſi potius cives una militatum eant, quam ſi (quod modo fit) eorum ordinibus adjungantur Lydi, Phryges, Syri, aliique diverſi generis barbari, cujuſmodi plerique ſunt advenæ.

4. Præter hoc vero bonum, quod his ordinum militarium ſocietate liberatis exiſteret; etiam ornamento eſſet civitati, ſi viderentur Athenienſes in prœliis ſibimet ipſis potius fidere, quam exteris.

5. Quod ſi cum advenis communicemus præter alia, quæ communicari convenit, etiam rei equeſtris uſum: arbitror nos id effecturos, ut magis benevolo ſint animo, & civitas viribus augeatur majorque reddatur.

6. Deinde

ϛʹ. Εἶτα, ἐπεὶ καὶ πολλὰ οἰκιῶν ἔρημά ἐστιν ἐντὸς τῶν τειχῶν, καὶ οἰκόπεδα, εἰ καὶ ἡ πόλις διδοίη οἰκοδομησαμένοις ἐγκεκτῆσθαι, οἳ ἂν αἰτούμενοι ἄξιοι δοκοῦσιν εἶναι, πολὺ ἂν οἴομαι καὶ διὰ ταῦτα πλείους τε καὶ βελτίους ὀρέγεσθαι τῆς Ἀθήνησιν οἰκήσεως.

ζʹ. Καὶ εἰ μετοικοφύλακάς γε, ὥσπερ ὀρφανοφύλακας, ἀρχὴν καθισταῖμεν, καὶ τούτοις τιμή τις ἐπείη, οἵτινες πλείους μετοίκους ἀποδείξειαν, καὶ τοῦτο εὐνουστέρους ἂν τοὺς μετοίκους ποιοίη, καὶ (ὡς τὸ εἰκὸς) πάντες ἂν οἱ ἀπόλιδες τῆς Ἀθήνηθεν μετοικίας ὀρέγοιντο, καὶ τὰς προσόδους ἂν αὔξοιεν.

ΚΕΦ. γʹ.

ΩΣ γε μὴν ἐμπορεύεσθαι ἡδίστη τε καὶ κερδαλεωτάτη ἡ πόλις, νῦν ταῦτα λέξω. πρῶτον μὲν

γὰρ

6. Deinde quum magna pars urbis intra muros, & areæ domorum vacuæ ſint, ſi decreto civitatis concederetur, ut domos exſtructas poſſiderent, quicunque hoc petentes digni eſſe viderentur: multo plures ac præſtantiores etiam ob has cauſſas arbitror expetituros, ut Athenis habitent.

7. Quod ſi etiam magiſtratum inſtitueremus, qui ut pupillorum ſunt cuſtodes, ita & ipſe inquilinorum cuſtos diceretur, atque illis præmium quoddam proponeretur, quorum opera plures inquilini exiſterent: hoc quoque inquilinos efficeret magis benevolos: & omnes (uti quidem conſentaneum eſt) quotquot alibi cives non eſſent, Athenis conſequi jus inquilinorum cuperent, & proventus augerent.

CAP. III.

URbem vero hanc noſtram ad exercendam mercaturam tum optatiſſimam eſſe, tum maxime quæſtuoſam, nunc exponam. Primum enim

navis

γὰρ δή που ναῦς καλλίστας καὶ ἀσφαλεστάτας ὑποδοχὰς ἔχει, ὅπου γ' ἐστὶν εἰσορμισθέντας ἡδέως ἕνεκα χειμῶνος ἀναπαύεσθαι.

β'. Ἀλλὰ μὴν καὶ τοῖς ἐμπόροις ἐν μὲν ταῖς πλείσταις τῶν πόλεων ἀντιφορτίζεσθαί τι ἀνάγκη· νομίσμασι γὰρ οὐ χρησίμοις ἔξω χρῶνται. ἐν δὲ ταῖς Ἀθήναις πλεῖστα μὲν ἐστὶν ἀντεξάγειν, ὧν ἂν δέωνται ἄνθρωποι· ἢν δὲ μὴ βούλωνται ἀντιφορτίζεσθαι, καὶ οἱ ἀργύριον ἐξάγοντες καλὴν ἐμπορίαν ἐξάγουσιν. ὅπου γὰρ ἂν πωλῶσιν αὐτό, πανταχοῦ πλεῖον τοῦ ἀρχαίου λαμβάνουσιν.

γ'. Εἰ δὲ καὶ τῇ τοῦ ἐμπορίου ἀρχῇ ἆθλα προτιθείη τις, ὅστις δικαιότατα καὶ τάχιστα διαιροίη τὰ ἀμφίλογα, ὡς μὴ ἀποκωλύεσθαι ἀποπλεῖν τὸν βουλόμενον, πολὺ ἂν καὶ διὰ ταῦτα πλείους τε καὶ ἥδιον ἐμπορεύοιντο.

δ'. Ἀγαθὸν δὲ καὶ καλὸν καὶ προεδρίαις τιμᾶσθαι ἐμπόρους καὶ ναυκλήρους, καὶ ἐπὶ ξενίᾳ γ' ἔστιν ὅτε καλεῖσθαι, οἳ ἂν

δοκῶσιν

navis quælibet heic pulcherrimos ac tutiſſimos receptus habet, ubi licet adpulſis tempeſtatis cauſſa ſuaviter quieſcere.

2. Præterea mercatores plurimis in civitatibus commutare oneribus onera neceſſe eſt, quod nummis illæ foris inutilibus utantur. Athenis vero maxima rerum eſt ad exportandum copia, quibus homines egent: ſin onerare navem mercibus permutatis nolint, egregias avehunt merces, quicunque argentum avehunt. Nam ubicunque tandem illud vendiderint, ubique plus recipiunt quam prius habebant.

3. Quod ſi quis mercaturæ præfecto præmia proponat, qui æquiſſime celerrimeque dijudicet ea de quibus controvertitur, ut non impediantur ii, qui navigiis diſcedere volunt: etiam has ob cauſſas, longe plures, & quidem libentius heic negotiarentur.

4. Eſſet etiam tum utile tum honeſtum, mercatores & naucleros loco magis honorato in conſeſſibus ornari; atque illos etiam ad hoſpitii neceſſitudinem invitari,

δοκῶσιν ἀξιολόγοις καὶ πλοίοις καὶ ἐμπορεύμασιν ὠφελεῖν τὴν πόλιν. ταῦτα γὰρ τιμώμενοι, οὐ μόνον τοῦ κέρδους ἀλλὰ καὶ τῆς τιμῆς ἕνεκεν πρὸς φίλους ἐπισπεύδοιεν ἄν.

ε΄. Οσῳ γε μὴν πλείονες εἰσοικίζοιντό τε, καὶ ἀφικνοῖντο, δῆλον ὅτι τοσούτῳ ἂν πλεῖον καὶ εἰσάγοιτο, καὶ ἐξάγοιτο, καὶ ἐκπέμποιτο, καὶ πωλοῖτο, καὶ μισθοφοροῖτο, καὶ τελεσφοροίη.

ϛ΄. Εἰς μὲν οὖν τὰς τοιαύτας αὐξήσεις τῶν προσόδων οὐδέ πως δαπανῆσαι δεῖ οὐδὲν, ἀλλὰ ψηφίσματά τε φιλάνθρωπα καὶ ἐπιμελείας. ὅσαι δ' ἂν ἄλλαι δοκοῦσί μοι πρόσοδοι γίγνεσθαι, γιγνώσκω ὅτι ἀφορμῆς δεήσει εἰς αὐτάς.

ζ΄. Ου μέντοι δύσελπίς εἰμι, τὸ μὴ οὐχὶ προθύμως ἂν τοὺς πολίτας εἰς τὰ τοιαῦτα εἰσφέρειν, ἐνθυμούμενος ὡς πολλὰ μὲν εἰσήνεγκεν ἡ πόλις, ὅτε Αρκάσιν ἐβοήθει ἐπὶ Λυσιστράτου ἡγουμένου, πολλὰ δὲ ἐπὶ Ηγησίλεω.

η΄. Ἐπίσταμαι δὲ καὶ τριήρεις πολλάκις ἐκπεμπομένας σὺν πολλῇ δαπάνῃ, καὶ ταύτας γιγνομένας, τούτου μὲν ἀδήλου ὄντος, εἴτε βέλτιον εἴτε κάκιον ἔσται· ἐκείνου δὲ δήλου, ὅτι οὐδέ-

tari, qui navibus ac mercibus egregiis civitati prodeſſe viderentur. Hoc enim honore adfecti, non tam quæſtus quam honoris cauſſa redire ad amicos properarent.

5. Enimvero quo plures in urbem admitterentur, Athenaſque venirent, eo plus mercium importaretur, exportaretur, emitteretur, venderetur, tributi acciperetur.

6. Nec ad hæc proventuum incrementa ſumtus ulli requirerentur, præter decreta humanitatis plena, & ipſam diligentiam. Quotquot autem proventus alios nobis accedere poſſe puto, ad eos impenſis opus fore animadverto.

7. Neque tamen deſpero, quin cives perlubenter ad has collaturi ſint, quum mecum cogito, civitatem hanc multa contuliſſe, quum Lyſiſtrato duce opem Arcadibus ferret: multa item, duce Hegeſilao.

8. Scio item, ſæpenumero triremes magno ſumtu emiſſas eſſe, quum quidem illis effectis eſſet obſcurum, utrum id profuturum potius quam obfuturum eſſet: minime autem dubitaretur, nunquam

οὐδέποτε ἀπολήψονται ἃ ἂν εἰσενέγκωσιν, οὐδὲ μεθέξουσιν ὧν ἂν εἰσενέγκωσιν.

θʹ. Κτῆσιν δὲ ἀπ᾽ οὐδενὸς ἂν οὕτω καλὴν κτήσαιντο, ὥσπερ ἀφ᾽ οὗ ἂν προτελέσωσιν εἰς τὴν ἀφορμήν. ᾧ μὲν γὰρ ἂν δέκα μναῖ εἰσφορὰ γένηται, ὥσπερ ναυτικὸν σχεδὸν ἐπίπεμπτον αὐτῷ γίνεται τριώβολον τῆς ἡμέρας λαμβάνοντι· ᾧ δέ γ᾽ ἂν πέντε μναῖ, πλεῖον ἢ ἐπίτριτον.

ιʹ. Οἱ δέ γε πλεῖστοι Ἀθηναίων πλείονα λήψονται κατ᾽ ἐνιαυτὸν, ἢ ὅσα ἂν εἰσενέγκωσιν. Οἱ γὰρ μνᾶν προτελέσαντες, ἐγγὺς δυοῖν μναῖν πρόσοδον ἕξουσι, καὶ ταῦτα ἐν πόλει· ὃ δοκεῖ τῶν ἀνθρωπίνων ἀσφαλέστατόν τε καὶ πολυχρονιώτατον εἶναι.

ιαʹ. Οἶμαι δὲ ἔγωγε, εἰ μέλλοιεν ἀναγραφήσεσθαι εὐεργέται εἰς τὸν ἅπαντα χρόνον, καὶ ξένους ἂν πολλοὺς εἰσενεγκεῖν· ἔστι δὲ ἃς ἂν καὶ πόλεις, τῆς ἀναγραφῆς ὀρεγομένας. ἐλπίζω δὲ καὶ βασιλέας ἄν τινας,

καὶ

quam recepturos, quæ contuliſſent, nec participes futuros eorum quæ contribuiſſent.

9. Neque vero tam egregium aliunde lucrum paraverint, quam ex illis ipſis in quæ factæ prius impenſæ fuerint. Etenim qui decem minas contribueret, is ſingulos in dies ſeſquiquintum velut triobolum nauticum reciperet: qui vero quinque minas, amplius ſeſquitertio.

10. Plurimi autem Athenienſes quotannis plura recepturi eſſent, quam contribuerent. Nam qui minam prius expenderint, prope duarum minarum proventum habituri ſunt, & eum quidem in urbe, quod humanis in rebus tutiſſimum eſſe, maximeque durabile videtur.

11. Atque arbitror equidem, ſi litteris mandaturi ſimus eorum nomina qui beneficium reipublicæ præſtituri ſint, ad omnem poſteritatem: etiam multos hoſpites contributuros, & quidem urbes quoque nonnullas id expetituras, ut monumentis litterarum inſerantur. Quinetiam reges quoſdam,

καὶ τυράννους, καὶ σατράπας ἐπιθυμῆσαι μετασχεῖν ταύτης τῆς χάριτος.

ιβʹ. Οπότε γε μὴν ἀφορμὴ ὑπάρχοι, καλὸν μὲν καὶ ἀγαθὸν ναυκλήροις οἰκοδομεῖν καταγώγια περὶ λιμένας πρὸς τοῖς ὑπάρχουσι, καλὸν δὲ καὶ ἐμπόροις ἐπὶ προσήκοντας τόπους ὠνῇ τε καὶ πράσει, καὶ τοῖς εἰσαφικνουμένοις δὲ δημόσια καταγώγια.

ιγʹ. Ει δὲ καὶ τοῖς ἀγοραίοις οἰκήσεις τε, καὶ πωλητήρια κατασκευασθείη, καὶ ἐν Πειραιεῖ, καὶ ἐν τῷ ἄστει, ἅμα τ' ἂν κόσμος εἴη τῇ πόλει, καὶ πολλαὶ ἂν ἀπὸ τούτων πρόσοδοι γίγνοιντο.

ιδʹ. Αγαθὸν δέ μοι δοκεῖ εἶναι πειραθῆναι, εἰ καὶ ὥσπερ τριήρεις δημοσίας ἡ πόλις κέκτηται, οὕτω καὶ ὁλκάδας δημοσίας δυνατὸν ἂν γένοιτο κτήσασθαι, καὶ ταύτας ἐκμισθοῦν ἐπ' ἐγγυητῶν, ὥσπερ καὶ τἄλλα δημόσια. εἰ γὰρ καὶ τοῦτο οἷόν τε ὂν φανείη, πολλὴ ἂν καὶ ἀπὸ τούτων πρόσοδος γίγνοιτο.

ΚΕΦ.

dam, & tyrannos, & ſatrapas fore ſpero, qui deſideraturi ſint, ut hujus beneficii participes fiant.

12. Cæterum ubi jam ſubſidium comparatum erit, bonum atque utile fuerit, naucleris diverſoria quædam, præter illa quæ jam facta ſint, exſtrui propter ipſos portus: bonum item mercatoribus, ad loca emtioni ac venditioni opportuna: denique publica diverſoria venientibus [Athenas] adſignari.

13. Quod ſi etiam nundinatoribus habitationes & tabernæ vendendis mercibus idoneæ tum in Piræo tum in urbe parentur; ſimul id & civitati ornamento foret, & multi proventus inde perciperentur.

14. Videtur etiam mihi conducere, ut periculum fiat, num quemadmodum triremes publicas habet civitas, ita & onerarias naves publicas parare poſſit, ut eas acceptis fidejuſſoribus locet, velut alia quoque publica. Nam ſi hoc fieri poſſe videretur, magnus etiam hinc proventus accederet.

CAP.

ΚΕΦ. δ'.

ΤΑ γε μὴν ἀργυρεῖα εἰ κατασκευασθείη ὡς δεῖ, πάμπολλα ἂν νομίζω χρήματα ἐξ αὐτῶν καὶ ἄνευ τῶν ἄλλων προσόδων προσιέναι. βούλομαι δὲ καὶ τοῖς μὴ εἰδόσι τὴν τούτων δύναμιν δηλῶσαι. ταύτην γὰρ γνόντες, καὶ ὅπως χρῆσθαι δεῖ αὐτοῖς, ἄμεινον ἂν βουλεύοισθε.

β'. Οὐκοῦν ὅτι μὲν παλαιὰ ἐνεργά ἐστι, πᾶσι σαφές. οὐδεὶς γοῦν οὐδὲ πειρᾶται λέγειν, ἀπὸ ποίου χρόνου ἐπεχειρήθη. οὕτω δὲ πάλαι ὀρυσσομένης τε καὶ ἐκφορουμένης τῆς ἀργυρείτιδος, κατανοήσατε τί μέρος οἱ ἐκβεβλημένοι σωροὶ τῶν αὐτοφυῶν τε καὶ ὑπαργύρων λόφων.

γ'. Οὐδὲ μὴν ὁ ἀργυρώδης τόπος εἰς μεῖόν τι συστελλόμενος, ἀλλ' ἀεὶ ἐπὶ πλεῖον ἐκτεινόμενος φανερός ἐστιν. ἐν ᾧ γε μὴν χρόνῳ οἱ πλεῖστοι ἄνθρωποι ἐγένοντο ἐν αὐτοῖς, οὐδεὶς πώποτε ἔργου ἠπόρηκεν, ἀλλ'

CAP. IV.

PRæterea ſi argenti fodinæ inſtruerentur, ita ut debebant, exiſtimarem ex iis inſignem pecuniæ vim præter fructus cæteros proventuram. Lubet autem ignaris, quæ potiſſimum vis atque commoditas earum ſit, exponere; qua cognita, rectius etiam iniri à vobis ratio poterit, quo pacto ſit eis utendum.

2. Ignotum autem nemini eſt, & veteres illos eſſe, & operas in eis fieri: ac ne conatur quidem indicare quiſquam à quo tempore cœptæ ſint. Quum autem hoc modo jam ab antiquo argentifera terra fodiatur, & egeratur; velim conſideretis, quantula pars ſint ejecti hactenus acervi collium ſponte naſcentium, quique ſubargentei ſunt.

3. Neque locum illum argento abundantem diminui conſtat, ſed amplius ſemper extendi. Quo etiam tempore maxima hominum in eis copia fuit, nemini unquam defuit quod ageret: ſed

ἀλλ' ἀεὶ τὰ ἔργα τῶν ἐργαζομένων περιῆν.

δ'. Καὶ νῦν δὲ τῶν κεκτημένοι ἐν τοῖς μετάλλοις ἀνδράποδα, οὐδεὶς τοῦ πλήθους ἀφαιρεῖ, ἀλλ' ἀεὶ προσκτᾶται, ὁπόσα ἂν πλεῖστα δύνηται. καὶ γὰρ δὴ ὅταν μὲν ὀλίγοι ὀρύσσωσι καὶ ζητῶσιν, ὀλίγα (οἶμαι) καὶ τὰ χρήματα εὑρίσκεται· ὅταν δὲ πολλοὶ, πολλαπλασία ἡ ἀργυρεῖτις ἀναφαίνεται. ὥστε ἐν μόνῳ τούτῳ ὧν ἐγὼ οἶδα ἔργων οὐδὲ φθονεῖ οὐδεὶς τοῖς ἐπισκευαζομένοις.

ε'. Ἐπι δὲ τῶν μὲν ἀγροὺς κεκτημένοι πάντες ἔχοιεν ἂν εἰπεῖν, ὁπόσα ζεύγη ἀρκεῖ εἰς τὸ χωρίον, καὶ ὁπόσοι ἐργάται· ἢν δ' ἐπὶ πλεῖον τοῦ ἱκανοῦ ἐμβάλλῃ τις, ζημίαν λογίζονται. ἐν δὲ τοῖς ἀργυρείοις ἔργοις πάντες δή φασιν ἐνδεῖσθαι ἐργατῶν.

ς'. Καὶ γὰρ οὐδὲ ὥσπερ ὅταν πολλοὶ χαλκοτύποι γένωνται, ἀξίων γιγνομένων τῶν χαλκευτικῶν ἔργων, καταλύονται οἱ χαλκοτύποι, καὶ οἱ σιδηρεῖς γε ὡσαύτως· καὶ ὅταν γε πολὺς σῖτος καὶ οἶνος γένηται,

ἀξίων

ſemper ea quæ agenda erant, operarum numerum ſuperabant.

4. Et nunc quoque illorum qui in metallis habent mancipia, nemo diminuere numerum cupit: ſed plura potius, quantum poteſt, adquirit. Etenim quum pauci fodiunt & quærunt, etiam paucæ (ut equidem arbitror) opes reperiuntur: ſin multi, multis partibus copioſior argenti materies prodit. Quo fit, ut hoc ſolo in opere, quod quidem ſciam, nemo fabricas novas inſtituentibus invideat.

5. Præterea qui agros poſſident, norunt omnes dicere, quot jumentorum juga, quot operarii ad fundum colendum ſatis ſint: ac ſi plures, quam ſufficiant, adhibeantur, hoc ipſum in damno ponunt. At in his eruendi argenti operibus omnes operariis egere dicunt.

6. Nec enim heic idem accidit, quod in artificum ærariorum copia, ubi quum facta ex ære opera vili venduntur, everti fortunæ horum ſolent, & ferrariorum ſimiliter: itemque ubi magna frumenti vinique copia provenit,

fructibus

ἀξίων ὄντων τῶν καρπῶν, ἀλυσιτελεῖς αἱ γεωργίαι γίγνονται· ὥστε πολλοὶ ἀφιέμενοι τοῦ τὴν γῆν ἐργάζεσθαι, ἐπ᾽ ἐμπορίας καὶ καπηλείας καὶ τοκισμοὺς τρέπονται.

ζ΄. Ἀργυρῖτις δὲ ὅσῳ ἂν πλείων φαίνηται, καὶ ἀργύριον πλεῖον γίγνηται, τοσούτῳ πλείονες ἐπὶ τὸ ἔργον τοῦτο ἔρχονται. καὶ γὰρ δὴ ἔπιπλα μὲν ἐπειδὰν ἱκανά τις κτήσηται τῇ οἰκίᾳ, οὐ μάλα ἔτι προσωνοῦνται· ἀργύριον δὲ οὐδείς πω οὕτω πολὺ ἐκτήσατο, ὥστε μὴ ἔτι προσδεῖσθαι. ἀλλ᾽ ἤν τισι γένηται παμπληθές, τὸ περιττεῦον κατορύττοντες, οὐδὲν ἧττον ἥδονται ἢ χρώμενοι αὐτῷ.

η΄. Καὶ μὴν ὅταν γε εὖ πράττωσιν αἱ πόλεις, ἰσχυρῶς οἱ ἄνθρωποι ἀργυρίου δέονται. οἱ μὲν γὰρ ἄνδρες ἀμφὶ ὅπλα τε καλὰ, καὶ ἵππους ἀγαθούς τε, καὶ οἰκίας, καὶ κατασκευὰς μεγαλοπρεπεῖς βούλονται δαπανᾶν· αἱ δὲ γυναῖκες εἰς ἐσθῆτα πολυτελῆ, καὶ χρυσοῦν κόσμον τρέπονται.

θ΄. Ὅταν τε αὖ νοσήσωσι πόλεις ἢ ἀφορίαις καρπῶν ἢ πολέμῳ, ἔτι καὶ πολὺ μᾶλλον ἀργοῦ τῆς γῆς γιγνο-

fructibus vili væneuntibus, agrorum culturæ ſunt inutiles; adeo quidem, ut multi relicta ſoli cultione ad mercaturam, ad cauponariam, ad uſuras ſe convertant.

7. Nimirum argenti materies quanto copioſior extiterit, & argenti plus fuerit, tanto plures ad illud opus ſe conferre ſolent. Etenim ſupellectili familiæ neceſſaria comparata, non multum ulterius coëmi ſolet: at argenti nemo adhuc tam multum habuit, ut nihil amplius requireret: ſed ſi qui permultum nacti fuerint, quod redundat, defodiunt: quo quidem non minus delectantur, quam ſi eo uterentur.

8. Quinetiam quum civitates ſecunda utuntur fortuna, tum civibus maxime argento eſt opus. Viri enim in arma elegantia, & generoſos equos, in ædes & ſtructuras magnificas pecuniam impendere volunt: mulieres vero ad cultum ſumtuoſum, & mundum aureum animos adjiciunt.

9. Rurſus quum civitates caritate annonæ laborant, aut bello, quia terra nullo cultu adhibito otioſa

γιγνομένης, καὶ εἰς ἐπιτήδεια καὶ εἰς ἐπικούρους νομίσματος δέονται.

ι΄. Ει δέ τις φήσειε καὶ χρυσίον μηδὲν ἧσσον χρήσιμον εἶναι ἢ ἀργύριον, τοῦτο μὲν οὐκ ἀντιλέγω· ἐκεῖνο μέντοι οἶδα, ὅτι καὶ χρυσίον ὅταν πολὺ παραφανῇ, αὐτὸ μὲν ἀτιμότερον γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ.

ια΄. Ταῦτα μὲν οὖν ἐδήλωσα τούτου ἕνεκα, ὅπως θαρσοῦντες μὲν ὅτι πλείστους ἀνθρώπους ἐπὶ τὰ ἀργυρεῖα ἄγωμεν, θαρσοῦντες δὲ κατασκευαζώμεθα ἐν αὐτοῖς, ὡς οὔτε ἐπιλειψούσης ποτὲ ἀργυρίτιδος, οὔτε τοῦ ἀργυρίου ἀτίμου ποτὲ ἐσομένου.

ιβ΄. Δοκεῖ δέ μοι καὶ ἡ πόλις προτέρα ἐμοῦ ταῦτα ἐγνωκέναι. παρέχει γοῦν ἐπὶ ἰσοτελείᾳ καὶ τῶν ξένων τῷ βουλομένῳ ἐργάζεσθαι ἐν τοῖς μετάλλοις.

ιγ΄. Ινα δὲ καὶ σαφέστερον περὶ τῆς τροφῆς εἴπω, νῦν διηγήσομαι ὡς κατασκευασθέντα τὰ ἀργυρεῖα ὠφελιμώτατ᾽ ἂν εἴη τῇ πόλει. ἀπ᾽ αὐτῶν μὲν οὖν ἔγωγε, ἀφ᾽ ὧν μέλλω λέγειν, οὐδέν τι ἀξιῶ θαυμάζεσθαι,

otioſa eſt, tum ad commeatum tum ad auxiliares copias nummos requirunt.

10. Quod ſi quis dixerit, aurum nihilo eſſe minus utile quam argentum; huic non repugnabo. Illud tamen ſcio, quod etiam aurum, ſi magna ejus eſſe copia videatur, minoris eſſe ſoleat æſtimationis, & argentum reddat pretioſius.

11. Atque hæc à me idcirco explicata ſunt, ut fidenter quamplurimos homines in argenti fodinas mittamus, atque illic ſubſtruamus haud dubitanter; quum neque argentifera terra defectura, neque futurum ſit, ut argentum ullo unquam tempore vileſcat.

12. Videtur autem mihi civitas ipſa hæc ante me perſpexiſſe. Nam peregrinis etiam, ſi qui velint, excolendi metalla, poteſtatem facit *æquali penſione.

13. Ut autem etiam apertius de adquirendo victu loquar, nunc exponam, qua ratione inſtauratæ argenti fodinæ civitati poſſint eſſe utiliſſimæ. Nec ex iis, quæ dicturus ſum, ullam quæro mei admirationem,

ζεσθαι, ὡς δυσεύρετόν τι ἐξευρηκώς. τὰ μὲν γὰρ ὧν λέξω, καὶ νῦν ἔτι πάντες ὁρῶμεν, τὰ δὲ παροιχόμενα τῶν πραγμάτων κατὰ ταῦτα ἂν ἀκούοιμεν.

ιδ'. Τῆς μέντοι πόλεως πάνυ ἄξιον θαυμάσαι, τὸ αἰσθανομένην πολλοὺς πλουτιζομένους ἐξ αὐτῆς ἰδιώτας, μὴ μιμεῖσθαι τούτους. πάλαι μὲν γὰρ δήπου οἷς μεμέληκεν, ἀκηκόαμεν, ὅτι Νικίας ποτὲ ὁ Νικηράτου ἐκτήσατο ἐν τοῖς ἀργυρείοις χιλίους ἀνθρώπους, οὓς ἐκεῖνος Σωσίᾳ τῷ Θρᾳκὶ ἐξεμίσθωσεν, ἐφ᾽ ᾧ ὀβολὸν μὲν ἀτελῆ ἑκάστου τῆς ἡμέρας ἀποδιδόναι, τὸν δ᾽ ἀριθμὸν ἴσους ἀεὶ παρέχειν.

ιε'. Ἐγένετο δὲ καὶ Ἱππονίκῳ ἑξακόσια ἀνδράποδα κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἐκδεδομένα, ἃ προσέφερε μνᾶν ἀτελῆ τῆς ἡμέρας· Φιλημονίδῃ δὲ τριακόσια ἡμιμναῖον, ἄλλοις δέ γε, ὡς (οἴομαι) δυνάμεις ἑκάστοις ὑπῆρχεν.

ις'. Ἀτὰρ τί τὰ παλαιὰ δεῖ λέγειν; καὶ γὰρ νῦν πολλοί εἰσιν ἐν τοῖς ἀργυρείοις ἄνθρωποι οὕτως ἐκδεδομένοι.

ιζ'. Περαι-

tionem, quaſi aliquid difficile repertu invenerim. Nam quæ dicturus ſum, partim etiam nunc omnes cernimus, partim vero eadem ratione ſe habere præterita, licet audiendo cognoſcere.

14. Illud admodum admiratione dignum eſt, quod quum ſentiat civitas multos privatos ex ſe locupletatos eſſe, tales non imitetur. Jampridem enim de iis quibus ea res curæ fuit, audivimus; Niciam, Nicerati filium, in argentifodinis mille homines habuiſſe, quos Soſiæ Thraci locarit, qui ultra impenſas obolum pro ſingulis quotidie perſolveret, numerumque ſemper parem exhiberet.

15. Fuerunt & Hipponico ſexcenta mancipia, eodem iſto modo elocata, quæ quotidie minam ferebant ultra impenſas: & Philemonidi mancipia trecenta minæ ſemiſſem; aliis, ut cuique facultates ſuppetebant.

16. Sed quid neceſſe eſt vetera commemorare? quum & hoc tempore multi ſint homines in argenti fodinis iſta ratione locati.

17. Et

ιζ'. Περαινομένων γε μὴν ὧν λέγω, τοῦτ' ἂν μόνον καινὸν γένοιτ', εἰ ὥσπερ οἱ ἰδιῶται κτησάμενοι ἀνδράποδα, πρόσοδον ἀέναον κατεσκευασμένοι εἰσὶν, οὕτω καὶ ἡ πόλις κτῷτο δημόσια ἀνδράποδα, ἕως γίγνοιτο τρία ἑκάστῳ Αθηναίων.

ιη'. Ει δὲ δυνατὰ λέγομεν, καθ' ἓν ἕκαστον αὐτῶν σκοπῶν ὁ βουλόμενος κρινέτω. οὐκοῦν τιμὴν μὲν ἀνθρώπων εὔδηλόν ὅτι μᾶλλον ἂν τὸ δημόσιον δύναιτο, ἢ οἱ ἰδιῶται παρασκευάσασθαι. τῇ γε μὴν βουλῇ ῥᾴδιον καὶ κηρύξαι, ἄγειν τὸν βουλόμενον ἀνδράποδα, καὶ τὰ προσαχθέντα πρίασθαι.

ιθ'. Επειδὰν δὲ ὠνηθῇ, τί ἂν ἧττον μισθοῖτό τις παρὰ τοῦ δημοσίου, ἢ παρὰ τοῦ ἰδιώτου, ἐπὶ τοῖς αὐτοῖς μέλλων ἕξειν; μισθοῦνται γοῦν καὶ τεμένη, καὶ ἱερὰ, καὶ οἰκίας, καὶ τέλη ὠνοῦνται παρὰ τῆς πόλεως.

κ'. Οπως γε μὴν τὰ ὠνηθέντα σώζηται, τῷ δημοσίῳ ἔστι λαμβάνειν ἐγγύους παρὰ τῶν μισθουμένων, ὥσπερ

καὶ

17. Et hæc quidem, quæ à me dicuntur, ſi peragantur; illud tantum novi fit, ut quemadmodum privati comparatis mancipiis proventum ſibi perennem adquiſiverunt; ita coëmat & ipſa civitas mancipia publica, donec unicuique Athenienſium tria contigerint.

18. An hæc autem, quæ dicimus, fieri poſſint; ſecum de ſingulis cogitans qui volet, judicet. Hoc quidem plane perſpicuum eſt, poſſe fiſcum facilius quam privatos, pretium mancipiorum cogere. Senatui quidem certe facile eſt, per præconem edicere, ut qui volet, adducat ſua mancipia; atque ita quæ oblata fuerint, pretio redimere.

19. Poſteaquam autem coëmta fuerint, cur aliquis minus velit à republica conducere, quam à privato, quum iiſdem conditionibus obtenturus ſit? Conducunt enim à republica lucos, ſacra, domos; & ab eadem vectigalia redimunt.

20. Ut autem redemtæ res ſalvæ ſint, licet fiſco fidejuſſores à conductoribus accipere, quemadmodum

καὶ παρὰ τῶν ὠνουμένων τὰ τέλη. ἀλλὰ μὴν καὶ ἀδικῆσαί γε ῥᾷον τῷ τέλος πριαμένῳ, ἢ τῷ ἀνδράποδα μισθουμένῳ.

κα΄. Αργύριον μὲν γὰρ πῶς καὶ φωράσειεν ἄν τις τὸ δημόσιον ἐξαγόμενον, ὁμοίου τοῦ ἰδίου ὄντος αὐτῷ; ἀνδράποδα δὲ σεσημασμένα τῷ δημοσίῳ σημάντρῳ καὶ προσκειμένης ζημίας τῷ τε πωλοῦντι καὶ τῷ ἐξάγοντι, πῶς ἄν τις ταῦτα κλέψειεν; οὐκοῦν μέχρι μὲν τούτου δυνατὸν ἐφάνη τῇ πόλει εἶναι, τὸ ἀνθρώπους καὶ κτήσασθαι καὶ φυλάξαι.

κβ΄. Εἰ δ᾽ αὖ τις τοῦτ᾽ ἐνθυμεῖται, ὡς ἐπειδὰν πολλοὶ ἐργάται γένωνται, πολλοὶ φανοῦνται καὶ οἱ μισθωσόμενοι, ἐκεῖνο κατανοήσας θαῤῥείτω, ὅτι πολλοὶ μὲν τῶν κατεσκευασμένων προσμισθώσονται τοὺς δημοσίους (πολλὰ γάρ ἐστι τὰ ὑπάρχοντα), πολλοὶ δ᾽ εἰσὶ καὶ αὐτῶν τῶν ἐν τοῖς ἔργοις γηρασκόντων, πολλοὶ δὲ ἄλλοι Ἀθηναῖοί τε καὶ ξένοι, οἱ τῷ σώματι μὲν οὔτε βούλοιντ᾽ ἂν, οὔτε δύναιντ᾽ ἂν ἐργάζεσθαι, τῇ δὲ γνώμῃ ἐπιμελούμενοι ἡδέως ἂν τὰ ἐπιτήδεια πορίζοιντο.

κγ΄. Ην

modum etiam ab iis qui vectigalia redimunt. Immo vero facilius eſt emtori vectigalis, fraudare, quam conductori mancipiorum.

21. Nam quo pacto deprehendere quis poſſit, argentum publicum averti, quum ſit huic ſimile privatum? Mancipia vero ſigno publico notata, ſi pœna conſtituta ſit & vendenti & exportanti, quomodo ſubduci furto poſſint? Atque hactenus civitatem & comparare hujuſmodi homines, & conſervare poſſe patuit.

22. Si quis rurſus cogitet, exiſtentibus multis operariis, extituros etiam multos, qui mancipia locare velint; illud animadvertat & confidat fore ut multi jam à mancipiis inſtructi, alios inſuper homines publicos conducant (nam magnæ ſunt opum facultates), & in ipſis operibus multi ſeneſcunt, & multi quoque alii tum Athenienſes, tum peregrini, corpore quidem illi nec velint nec poſſint opus facere; ſed animi tamen adhibita cura, libenter neceſſaria ſibi adquiſiverint.

23. Itaque

κγ΄. Ἢν γε μέντοι τὸ πρῶτον συστῇ διακόσια καὶ χίλια ἀνδράποδα, εἰκὸς ἤδη ἀπ' αὐτῆς τῆς προσόδου ἐν ἔτεσι πέντε ἢ ἓξ μὴ μεῖον αὐτῇ ἑξακισχιλίων γενέσθαι· ἀπό γε μὴν τούτου τοῦ ἀριθμοῦ, ἢν ὀβολὸν ἕκαστος ἀτελῆ τῆς ἡμέρας φέρῃ, ἡ μὲν πρόσοδος ἑξήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ.

κδ΄. Ἀπὸ δὲ τούτων ἢν εἰς ἄλλα ἀνδράποδα τίθεται εἴκοσι, τοῖς τετταράκοντα ἤδη ἐξέσται τῇ πόλει χρῆσθαι εἰς ἄλλ' ὅ, τι ἂν δέῃ. ὅταν δέ γε μύρια ἀναπληρωθῇ, ἑκατὸν τάλαντα ἡ πρόσοδος ἔσται.

κε΄. Ὅτι δὲ δέξεται πολλαπλάσια τούτων, μαρτυρήσαιεν ἄν μοι εἴτινες ἔτι εἰσὶ τῶν μεμνημένων, ὅσον τὸ τέλος εὕρισκε τῶν ἀνδραπόδων πρὸ τῶν ἐν Δεκελείᾳ. μαρτυρεῖ δὲ κἀκεῖνο, ὅτι εἰργασμένων ἀνθρώπων ἐν τοῖς ἀργυρείοις ἐν τῷ παντὶ χρόνῳ ἀναριθμήτων, νῦν οὐδὲν διαφέρει τὰ ἀργυρεῖα, ἢ ἃ οἱ πρόγονοι ἡμῶν ὄντα ἐμνημόνευον αὐτά.

κϛ΄. Καὶ

23. Itaque ſi primum cogantur mille ducenta mancipia, conjici poteſt, intra quinque annos, aut ſex, de hoc ipſo proventu civitatem non pauciora ſex millibus habituram. Jam ex hoc numero, ſi obolum unuſquiſque diebus ſingulis immunem adferat, ſexaginta talentorum proventus annuus erit.

24. Ex iis autem ſi viginti talenta in alia mancipia impendantur, reliqua quadraginta, prout res poſtulabit, in alium aliquem uſum conferre civitati licebit. Quumque numerus id decem millia excreverit, jam centum talentorum proventus exiſtet.

25. Verum longe plus acceptu ram rempublicam, teſtes mihi eſſe poſſunt, ſi qui ſunt adhuc, qui meminere, quantum vectigal ex mancipiis civitas ante res ad Deceleam geſtas perceperit. Illud quoque teſtimonio eſt, quod quum innumerabiles omni tempore in argentifodinis opus fecerint, nihil hæ tamen ab illis hoc tempore differant, quarum mentionem majores noſtri fecerant.

26. Et

κϛʹ. Καὶ τὰ νῦν δὲ γιγνόμενα πάντα μαρτυρεῖ, ὅτι οὐκ ἄν ποτε πλείω ἀνδράποδα ἐκεῖ γένοιτο, ἢ ὅσων ἂν τὰ ἔργα δέηται. οὔτε γὰρ βάθους πέρας, οὔτε ὑπονόμον οἱ ὀρύσσοντες εὑρίσκουσι.

κζʹ. Καὶ μὴν καινοτομεῖν γε οὐδὲν ἧττον ἔξεστι νῦν, ἢ πρότερον. οὐ τοίνυν οὐδ᾽ εἰπεῖν ἂν ἔχοι εἰδὼς οὐδεὶς, πότερον ἐν τοῖς κατατετμημένοις πλείων ἀργυρῖτις, ἢ ἐν τοῖς ἀτμήτοις ἐστί.

κηʹ. Τί δῆτα, φαίη ἄν τις, οὐ καὶ νῦν, ὥσπερ ἔμπροσθεν, πολλοὶ καινοτομοῦσιν; ὅτι πενέστεροι μέν εἰσιν οἱ περὶ τὰ μέταλλα. νεωστὶ γὰρ πάλιν κατασκευάζονται.

κθʹ. Κίνδυνος δὲ μέγας τῷ καινοτομοῦντι. ὁ μὲν γὰρ εὑρὼν ἀγαθὴν ἐργασίαν, πλούσιος γίγνεται· ὁ δὲ μὴ εὑρὼν, πάντα ἀπόλλυσιν, ὅσα ἂν δαπανήσῃ. εἰς τοῦτον οὖν τὸν κίνδυνον οὐ μάλα πως ἐθέλουσιν οἱ νῦν ἰέναι.

λʹ. Ἐγὼ μέντοι ἔχειν μοι δοκῶ καὶ περὶ τούτου συμβου-

26. Et ea quidem, quæ nunc fiunt, omnia teſtantur; nunquam plura mancipia illic eſſe poſſe, quam ipſa requirant opera. Nec enim illi, qui fodiunt, vel profunditatis vel cuniculorum finem inveniunt.

27. Atqui licet hoc tempore nihilo minus novum opus facere quam prius. Neque quiſquam certo ſe ſcire poſſit dicere, num in locis hactenus exciſis plus argenteæ materiei ſit, an necdum apertis.

28. Cur igitur, dicat aliquis, non nunc etiam, ſicut antea, multi novum opus faciunt? Quia pauperiores ſunt, qui res metallicas faciunt, non ita pridem inſtaurari cœptas.

29. Operis etiam novi adgreſſio periculoſa eſt. Nam qui fructuoſum opus excolendum invenit, copioſus & dives efficitur: qui vero non invenit, ei ſumptus impenſi pereunt. Itaque periculum illud non admodum adire hujus ætatis homines volunt.

30. Mihi tamen habere videor quod dem conſilium in hoc quoque

συμβουλεῦσαι, ὡς ἂν ἀσφαλέστατα καινοτομοῖτο. εἰσὶ μὲν δήπου Ἀθηναίων δέκα φυλαί· εἰ δὲ ἡ πόλις δοίη ἑκάστῃ αὐτῶν ἴσα ἀνδράποδα, αἱ δὲ κοινωσάμεναι τὴν τύχην καινοτομοῖεν, οὕτως ἄν, εἰ μία εὕροι, πάσαις ἂν λυσιτελὲς ἀποδείξειεν.

λα΄. Εἰ δὲ δύο, ἢ τρεῖς, ἢ τέτταρες, ἢ αἱ ἡμίσειαι εὕροιεν, δῆλον ὅτι λυσιτελέστερα ἂν τὰ ἔργα ταῦτα γίγνοιτο. τό γε μὴν πάσας ἀποτυχεῖν, οὐδενὶ τῶν παρεληλυθότων ἐοικός.

λβ΄. Οἷόντε δὲ οὕτως καὶ ἰδιώτας συνισταμένους καὶ κοινουμένους τὴν τύχην ἀσφαλέστερον κινδυνεύειν. μηδὲν μέντοι τοῦτο φοβεῖσθαι, ὡς ἢ τὸ δημόσιον οὕτω κατασκευαζόμενον παραλυπήσῃ τοὺς ἰδιώτας, ἢ οἱ ἰδιῶται τὸ δημόσιον· ἀλλ᾽ ὥσπερ σύμμαχοι ὅσῳ ἂν πλείους συνιῶσιν ἰσχυροτέρους ἀλλήλους ποιοῦσιν, οὕτω καὶ ἐν τοῖς ἀργυρείοις ὅσῳ περ ἂν πλείους ἐργάζωνται, τόσῳ πλεῖον τἀγαθὰ εὑρήσουσί τε καὶ φορήσουσι.

λγ΄. Καὶ ἐμοὶ μὲν δὴ εἴρηται, ὡς ἂν ἡγοῦμαι κατασκευασθείσης

que negotio, quomodo novum opus tutiſſime inſtituatur. Athenis enim decem ſunt tribus, quarum cuique ſi civitas parem mancipiorum numerum concederet, ipſæ vero fortuna communi novum opus adgrederentur: ita fieret, ut inventum ab una quidpiam, univerſis utilitatem exhiberet.

31. Sin duæ, aut tres, aut quatuor, aut etiam dimidia pars tribuum inveniret, hauddubie majores ex ejuſmodi operibus utilitates caperentur. Omnes enim ſpe ſua fruſtrari, præteritorum exemplo caret.

32. Poſſent etiam privati eadem ratione ſe conjungendo & conſociando, fortunam tutius periclitari. Neque vero metuendum eſt, ne vel fiſcus ita conſtitutus privatos lædat, vel privati fiſcum: ſed ut armorum ac belli ſocii, quo plures conjuncti fuerint, hoc ſe mutuo firmiores reddunt, ſic in argenti fodinis quo plures erunt, qui faciant opus, eo plus bonorum & reperient & reportabunt.

33. Expoſitum, qua ratione conſtituta republica, univerſis Athe-

σθείσης τῆς πόλεως ἱκανὴν ἂν πᾶσιν Ἀθηναίοις τροφὴν ἀπὸ κοινοῦ φύεσθαι.

λδ'. Ει δέ τινες λογιζόμενοι παμπόλλης ἂν δεῖν ἀφορμῆς εἰς ταῦτα πάντα, οὐχ ἡγοῦνται ἱκανὰ ἄν ποτε χρήματα εἰσενεχθῆναι, μηδὲ οὕτως ἀθυμούντων.

λε'. Ου γὰρ οὕτως ἔχει, ὡς ἀνάγκη ἅμα πάντα ταῦτα γίγνεσθαι, ἢ μηδὲν ὄφελος αὐτῶν εἶναι· ἀλλ' ὁπόσα ἂν ἢ οἰκοδομηθῇ, ἢ ναυπηγηθῇ, ἢ ἀνδράποδα ὠνηθῇ, εὐθὺς ταῦτα ἐν ὠφελείᾳ ἔσται.

λϛ'. Αλλὰ μὴν καὶ τῇ γε συμφορώτερον τὸ κατὰ μέρος, ἢ τὸ ἅμα πάντα πράττεσθαι. οἰκοδομοῦντές τε γὰρ ἀθρόοι, πολυτελέστερον ἂν καὶ οὐ κάλλιον, ἢ κατὰ μέρος ἀποτελοῖμεν. ἀνδράποδα δὲ παμπληθῆ ζητοῦντες ἀναγκαζοίμεθα ἂν καὶ χείρω καὶ τιμιώτερα ὠνεῖσθαι.

λζ'. Κατά γε μὴν τὸ δυνατὸν περαίνοντες, τὰ μὲν καλῶς γνωσθέντα καὶ αὖθις ἂν μιμείμεθα·

εἰ

Athenienſibus de publico ad victum neceſſaria ſuppeditari poſſe arbitrer.

34. Quod ſi qui exiſtiment, ad hæc conficienda permagnis impenſis opus eſſe, nec unquam ſatis magnam pecuniam conferri poſſe; ne ſic quidem animum deſpondere debent.

35. Non enim ita comparata res eſt, ut aut ſimul omnia fieri, aut ex eis utilitatem nullam capi neceſſe ſit; ſed ubi quæque primum ædificata fuerint, vel domus, vel naves, vel emta fuerint mancipia, ſtatim hæc utilitatem adlatura ſunt.

36. Quinetiam vel ob hanc cauſſam utilius erit hæc particulatim, quam ſimul omnia fieri. Nam ſi ſubito ædificemus multi, majori cum ſumtu, & pejus abſolvemus, quam ſi res particulatim fiat. Mancipiorum autem permagnum quærentes numerum, & deteriora, & carius emere cogemur.

37. Sin vero pro ratione facultatum rem conficiemus quæ erunt recte inſtituta, rurſus imitari licebit:

εἰ δέ τι ἁμαρτηθείη, ἀπεχοίμεθα ἂν αὐτοῦ.

λη'. Ετι δὲ, πάντων ἅμα γιγνομένων, ἡμᾶς ἂν ἅπαντα δέοι ἐμπορίζεσθαι· εἰ δὲ τὰ μὲν περαίνοιτο, τὰ δὲ μέλλοι, ἡ ὑπάρξασα πρόσοδος τὸ ἐπιτήδειον συγκατασκευάζοι ἄν.

λθ'. Ο δὲ ἴσως φοβερώτατον δοκεῖ πᾶσιν εἶναι, μὴ, εἰ ἄγαν πολλὰ κτήσαιτο ἡ πόλις ἀνδράποδα, ὑπεργεμισθῇ ἂν τὰ ἔργα, καὶ τούτου τοῦ φόβου ἀπηλλαγμένοι εἴημεν, εἰ μὴ πλείονας ἀνθρώπους, ἢ ὅσους αὐτὰ τὰ ἔργα προσαιτοίη, κατ' ἐνιαυτὸν ἐμβάλλοιμεν.

μ'. Ουτως ἔμοιγε δοκεῖ ἥπερ ῥᾷστον, ταύτῃ καὶ ἄριστον εἶναι ταῦτα πράττειν. εἰ δ' αὖ διὰ τὰς ἐν τῷ νῦν πολέμῳ γεγενημένας εἰσφορὰς νομίζετ' ἂν μηδ' ὁποιοῦν δύνασθαι εἰσενεγκεῖν, ὑμεῖς δὲ, ὅσα μὲν πρὸ τῆς εἰρήνης χρήματα εὕρισκε τὰ τέλη, ἀπὸ τοσούτων καὶ τὸ ἐπιὸν ἔτος διοικεῖτε τὴν πόλιν· ὅσα δ' ἂν ἐφευρίσκῃ διὰ τὸ εἰρήνην τε εἶναι καὶ διὰ τὸ θεραπεύεσθαι μετοίκους καὶ ἐμπόρους, καὶ διὰ τὸ πλειόνων συναγειρομένων

bit: ſin autem in aliquo peccatum fuerit, ab eo abſtinebimus.

38. Præterea ſi omnia ſimul fierent, paranda quoque nobis eſſet omnium copia. Sin alia perficiantur, alia differantur; adquiſitus jam ante proventus neceſſaria ſuppeditabit.

39. Illud fortaſſe videri poſſit ſummopere metuendum, ne, ſi civitas valde multa mancipia compararit, etiam opera nimis magna copia onerentur. Verum hoc quoque metu liberati erimus, ſi non plures, quam ipſa requirunt opera, ſingulis annis immittemus.

40. Ita mihi quidem videtur in his rebus eam ſequi rationem optiſſimum eſſe, quæ ſit facillima. Quod ſi rurſus exiſtimatis, ob tributa, hoc bello exactâ, ne tantulum quidem poſſe contribui: ſane quantum ante factam pacem vectigalia reddebant, tantum in adminiſtratione reipublicæ anno proximo impendite: quæ vero amplius illa reddent, tum propterea quia pax eſt, tum quia inquilinorum & mercatorum ratio habebitur, ac pluribus huc confluentibus

μένων ἀνθρώπων πλείω εἰσάγεσθαι καὶ ἐξάγεσθαι, καὶ διὰ τὸ ἐν λιμένι καὶ τὰς ἀγορὰς αὐξάνεσθαι, ταῦτα λαμβάνοντες κατασκευάσασθαι, ὡς ἂν πλεῖστοι πρόσοδοι γίγνοιντο.

μα'. Εἰ δέ τινες αὖ φοβοῦνται, μὴ ματαία ἂν γένοιτο αὕτη ἡ κατασκευὴ, εἰ πόλεμος ἐγερθείη, ἐννοησάτω ὅτι τούτων γιγνομένων πολὺ φοβερώτερος ὁ πόλεμος τοῖς ἐπιφέρουσιν, ἢ τῇ πόλει.

μβ': Τί γὰρ δὴ εἰς πόλεμον κτῆμα χρησιμώτερον ἀνθρώπων; πολλὰς μὲν γὰρ ναῦς πληροῦν ἱκανοὶ ἂν εἶεν δημοσίᾳ, πολλοὶ δ' ἂν καὶ πεζοὶ δημοσίᾳ δύναιντ' ἂν βαρεῖς εἶναι τοῖς πολεμίοις, εἴ τις αὐτοὺς θεραπεύοι.

μγ'. Λογίζομαι δ' ἔγωγε καὶ πολέμου γιγνομένου οἷόν τ' εἶναι μὴ ἐκλείπεσθαι τὰ ἀργύρεια. ἔστι μὲν γὰρ δήπου περὶ τὰ μέταλλα ἐν τῇ πρὸς μεσημβρίαν θαλάττῃ τεῖχος ἐν * Αναφαύστῳ, ἔστι δ' ἐν τῇ πρὸς ἄρκτον τεῖχος ἐν Θορικῷ, ἀπέχει δὲ ταῦτα ἀπ' ἀλλήλων ἀμφὶ τὰ ἑξήκοντα στάδια.

μδ'. Εἰ οὖν καὶ ἐν μέσῳ τούτων γένοιτο ἐπὶ τῷ ὑψηλο-

-λυσ

tibus & importabuntur, & exportabuntur plurima, & ad portum mercatus erunt frequentiores; hæc inquam recipientes, ut quam maximi ſint proventus, efficere debetis.

41. At ſi quis eſt, qui vereatur, ne ſi bellum ingruat, hoc ſit inane inſtitutum: is cogitare debebit, ſiquidem hæc efficiantur, bellum fore formidoloſius iis ipſis, qui inferent, quam civitati noſtræ.

42. Quid enim ad belli uſum hominum multitudine utilius? Nimirum hi multis reipublicæ navibus explendis idonei fuerint; multi terra graves hoſtibus eſſe pro republica poſſint, modo quis eorum curam ſuſcipiat.

43. Mea quoque fert ratio, belli etiam tempore fieri poſſe, ut argentifodinæ non deſerantur; quum non procul à metallis ad mare, quod meridiem verſus extenditur, una ſit munitio in Anaphauſto, altera vero in Thorico, verſus mare aquilonale: quorum locorum alter ab altero ſtadiis circiter LX diſtat.

44. Si igitur inter hæc duo ter-

πάτῳ Βήσσης τρίτον ἔρυμα, συνήκοιτ' ἂν τὰ ἔργα εἰς ἓν ἐξ ἁπάντων τῶν τειχῶν· καὶ εἴ τι αἰσθάνοιτο πολεμικὸν, βραχὺ ἂν εἴη ἑκάστῳ εἰς τὸ ἀσφαλὲς ἀποχωρῆσαι.

με΄. Ει δὲ καὶ ἔλθοιεν πλείους πολέμιοι, δηλονότι εἰ μὲν σῖτον ἢ οἶνον ἢ πρόβατα ἔξω εὕροιεν, ἀφέλοιντ' ἂν ταῦτα. ἀργυρείτιδος δὲ κρατήσαντες, τί ἂν μᾶλλον, ἢ λίθοις ἔχοιεν χρῆσθαι;

μϛ΄. Πῶς δὲ καὶ ἁρμήσειάν ποτε πολέμιοι πρὸς τὰ μέταλλα; ἀπέχει μὲν γὰρ δήπου τῶν ἀργυρείων ἐγγύτατα πόλις Μέγαρα πολὺ πλεῖον τῶν πεντακοσίων σταδίων· ἀπέχει δὲ ἡ μετὰ ταῦτα πλησιαίτατα Θῆβαι πολὺ πλεῖον τῶν ἑξακοσίων.

μζ΄. Ην οὖν πορεύωνται ἐντεῦθέν ποθεν ἐπὶ τὰ ἀργύρεια, παριέναι αὐτοὺς δεήσει τὴν πόλιν· κἂν μὲν ὦσιν ὀλίγοι, εἰκὸς αὐτοὺς ἀπόλλυσθαι καὶ ὑπὸ ἱππέων καὶ ὑπὸ περιπόλων. πολλῆ γε μὴν δυνά-

tium aliquod caſtellum in editiſſimo ſaltus loco excitetur, in unum locum ex omnibus his caſtellis operas convenire licebit; ac ſi quid hoſtile ſenſerint, breve ſpatium quilibet ad tutum receptum habebit.

45. Quod ſi majores hoſtium copiæ irruerint, ac frumentum, aut vinum, aut pecudes invenerint extra munitiones; ea nimirum ſecum auferent. Si maxime argenti metallis potiti fuerint, quid aliud habituri ſunt, quo utantur, niſi ſaxa?

46. Et quo tandem modo in metalla hoſtes irruptionem facere poſſint? abeſt enim à metallis ex intervallo proximo urbs Megara multo longius quingentis ſtadiis, abſunt deinde proximo ex intervallo Thebæ multo amplius ſexcentis.

47. Itaque ſi ad argenti fodinas illinc alicunde venerint, ut ipſam urbem prætereant, neceſſe eſt: ac ſi pauci fuerint, ab equitibus, & illis, qui præſidii cauſſa regionem circumeunt, eos interemtum iri conſentaneum eſt. Ut vero deſerta

δυνάμει πορεύεσθαι ἐξερημοῦντας τὰ ἑαυτῶν χαλεπόν. πολὺ γὰρ ἐγγύτερον ἂν εἴη ταῖς πόλεσιν αὐτῶν τὸ τῶν Ἀθηναίων ἄστυ, ἢ αὐτοὶ εἰσὶ πρὸς τοῖς μετάλλοις ὄντες.

μη'. Εἰ δὲ ϗ ἔλθοιεν, πῶς ἂν ϗ δύναιντο μένειν, μὴ ἔχοντες τὰ ἐπιτήδεια; ἐπισιτίζεσθαί γε μὴν μέρει μὲν κίνδυνος ϗ περὶ τῶν μετιόντων ϗ περὶ ὧν ἀγωνίζονται· πάντες δὲ ἀεὶ μετιόντες πολιορκοῖντ' ἂν μᾶλλον, ἢ πολιορκοῖεν.

μθ'. Οὐ τοίνυν μόνον ἡ ἀπὸ τῶν ἀνδραπόδων εἰσφορὰ τὴν διατροφὴν τῇ πόλει αὔξοι ἄν, ἀλλὰ πολυανθρωπίας περὶ τὰ μέταλλα ἀθροιζομένης, ϗ ἀπ' ἀγορᾶς τῆς ἐκεῖ οὔσης, ϗ ἀπ' οἰκιῶν περὶ τἀργυρεῖα δημοσίων, ϗ ἀπὸ καμίνων, ϗ ἀπὸ τῶν ἄλλων ἁπάντων πρόσοδοι ἂν πολλαὶ γίγνοιντο.

ν'. Ἰσχυρῶς γὰρ ϗ αὕτη πολυάνθρωπος γένοιτο πόλις, εἰ οὕτω κατασκευασθείη. ϗ οἵ γε χῶροι οὐδὲν ἂν εἶεν μείονος

ἄξιοι

ſerta regione ſua, cum magnis copiis è finibus ſuis exeant, non facile fuerit, propterea quod urbs Athenienſis ita longe propior eſſet futura civitatibus eorum, quam illi ipſi qui ad metalla ſe conferrent.

48. Si tamen accedant, quonam modo illic manere poſſint, à commeatu deſtituti? Quod ſi copiarum aliqua cum parte pabulando neceſſaria parare velint, erunt in periculo tum pabulatores tum res ipſæ, de quibus contendendum: ſin exeant ſemper omnes, non tam oppugnabunt alios, quam ipſi oppugnabuntur.

49. Non igitur illa tantum de mancipiis penſio civitati ad alendos ſuos incrementum adferet, verumetiam ubi magnus hominum ad metalla concurſus erit, plures & ex foro, quod illic inſtituetur, & ex publicis ad argenti fodinas ædificiis, & ex fornacibus, & omnibus aliis, proventus accedent.

50. Fiet enim & illic civitas admodum populoſa, ſi ad hunc modum inſtructa fuerit: nec fundi minoris erunt iſtic dominis

ſuis,

ἄξιοι τοῖς κεκτημένοις ἐνταῦθα, ἢ τοῖς περὶ τὸ ἄστυ.

να'. Πραχθέντων γε μὴν ὧν εἴρηκα, ξύμφημι ἐγὼ οὐ μόνον ἂν χρήμασιν εὐπορωτέραν τὴν πόλιν εἶναι, ἀλλὰ καὶ εὐπειθεστέραν, καὶ εὐτακτοτέραν, καὶ εὐπολεμωτέραν γενέσθαι.

νβ'. Οἵ τε γὰρ ταχθέντες γυμνάζεσθαι, πολὺ ἂν ἐπιμελέστερον πράττοιεν τὰ ἐν τοῖς γυμνασίοις, τὴν τροφὴν ἀπολαμβάνοντες πλείω ἢ ἐν ταῖς λαμπάσι γυμνασιαρχούμενοι· οἵ τε φρουρεῖν ἐν τοῖς φρουρίοις, οἵ τε πελτάζειν, καὶ περιπολεῖν τὴν χώραν, πάντα ταῦτα μᾶλλον ἂν πράττοιεν, ἐφ' ἑκάστοις τῶν ἔργων τῆς τροφῆς ἀποδιδομένης.

ΚΕΦ. ε'.

Εἰ δὲ σαφὲς δοκεῖ εἶναι, ὡς εἰ μέλλουσι πᾶσαι αἱ πρόσοδοι ἐκ πόλεως προσιέναι, ὅτι εἰρήνην δεῖ ὑπάρχειν, ἆρ' οὐκ ἄξιον καὶ εἰρηνοφύλακας καθιστάναι; πολὺ γὰρ ἂν καὶ αὕτη αἱρεθεῖσα ἡ ἀρχὴ προσφιλεστέραν καὶ πυκνοτέραν εἰσαφικνεῖσθαι πᾶσιν ἀνθρώποις ποιήσειε τὴν πόλιν.

β'. Ει

ſuis, quam heic ad urbem fundos poſſidentibus.

51. Itaque, ſi quæ dixi, facta fuerint, non ſolum pecuniis copioſiorem, verumetiam magis obedientem, magiſque ſtudioſam ordinis, & bellicoſiorem fore civitatem noſtram confirmo.

52. Nam qui ſe juſſi fuerint exercere, multo diligentius obibunt in exercitiis peragenda, ſi victus eis copioſior ſuppetet, quam qui gymnaſiarchæ parent in decurſione cum facibus: itidemque conſtituti ad præſidia caſtellorum, & geſtare parmas, & regionem obire juſſi, hæc omnia majore ſtudio facient, ſi victus cuique pro laboribus ſuis tribuatur.

CAP. V.

Quod ſi evidens eſſe videtur, pace ad hoc opus fore, ſi proventibus hiſce potiri civitas velit: an non par fuerit, etiam pacis cuſtodes quoſdam conſtitui? Nam delectus hic magiſtratus efficiet ut omnes mortales & lubentius & frequentius hanc urbem adeant.

2. Si

β′. Ει δέ τινες οὕτω γιγνώσκουσιν, ὡς ἐὰν ἡ πόλις εἰρήνην ἄγουσα διατελῇ, ἀδυνατωτέρα τε, καὶ ἀδοξοτέρα, καὶ ἧττον ὀνομαστὴ ἐν τῇ Ελλάδι ἔσται, καὶ οὗτοί γε ὡς ἐμῇ δόξῃ παραλόγως σκοποῦσιν. εὐδαιμονέσταται μὲν γὰρ δήπου πόλεις λέγονται, αἳ ἂν πλεῖστον χρόνον ἐν εἰρήνῃ διατελῶσι. πασῶν δὲ πόλεων Αθῆναι μάλιστα πεφύκασιν ἐν εἰρήνῃ αὔξεσθαι.

γ′. Τίνες γὰρ, ἡσυχίαν ἀγούσης τῆς πόλεως, οὐ προσδέοιντ' ἂν αὐτῆς; ἀρξάμενοι ἀπὸ ναυκλήρων καὶ ἐμπόρων, οὐχ οἱ πολύσιτοι, οὐχ οἱ πολύοινοι, οὐχ οἱ ἡδύοινοι; τί δὲ οἱ πολυέλαιοι; τί δὲ οἱ πολυπρόβατοι; οἱ δὲ γνώμη καὶ ἀργυρείῳ δυνάμενοι χρηματίζεσθαι;

δ′. Καὶ μὴν χειροτέχναι γε, καὶ σοφισταὶ, καὶ φιλόσοφοι, οἱ δὲ ποιηταὶ, οἱ δὲ τὰ τούτων μεταχειριζόμενοι, οἱ δὲ ἀξιοθεάτων ἢ ἀξιακούστων, ἱερῶν ἢ * ὁσίων ἐπιθυμοῦντες, ἀλλὰ μὴν καὶ οἱ δεόμενοι πολλὰ ταχὺ ἀποδίδοσθαι ἢ πρίασθαι, ἢ οὐ τούτων μᾶλλον ἂν τύχοιεν Αθήνησιν;

ε′. Ει

2. Si qui vero judicant, eandem civitatem in pace perpetua minus potentiæ, gloriæ, celebritatis habituram in Græcia: hi ſane rem opinione mea non rite conſiderant. Nam beatiſſimæ dicuntur reſpublicæ, quæ longiſſimo tempore in pace permanſerint. Et Athenarum ea ratio eſt, ut in pace ſupra civitates alias omnes incrementum ſumant.

3. Quis eſt enim omnium, qui hujus urbis, ſi quieta ſit, adjumento non indigeat? Atque ut à naucleris & mercatoribus ordiamur, an non qui frumento, vino, eoque ſuavi, oleo, pecudibus abundant, item qui & conſilio, & re quæſtum facere poſſunt?

4. His addantur opifices, ſapientiæ profeſſores, philoſophi, poëtæ, quique iſtorum opera tractant, & qui rerum ſpectatu, qui auditu dignarum, qui ſacrarum & religioſarum ſtudio tenentur. Præterea ſiqui multa cito vendere vel emere velint, ubi facilius quod cupiunt, adſequentur, quam Athenis?

ε΄. Ει δὲ πρὸς ταῦτα μὲν οὐδεὶς ἀντιλέγει, τὴν δὲ ἡγεμονίαν βουλόμενοί τινες ἀναλαβεῖν τῇ πόλει, ταύτην διὰ πολέμου μᾶλλον, ἢ δι᾽ εἰρήνης ἡγοῦνται ἂν καταπραχθῆναι, ἐννοησάτωσαν πρῶτον μὲν τὰ Μηδικὰ, πότερον βιαζόμενοι ἢ εὐεργετοῦντες τοὺς Ελληνας ἡγεμονίας τε τοῦ ναυτικοῦ καὶ Ελληνοταμίας ἐτύχομεν.

ϛ΄. Ετι δ᾽ ἐπεὶ ὠμῶς ἄγαν δόξασα προστατεύειν ἡ πόλις ἐστερήθη τῆς ἀρχῆς, οὐ καὶ τότ᾽, ἐπεὶ τοῦ ἀδικεῖν ἀπεχόμεθα, πάλιν ὑπὸ τῶν νησιωτῶν ἑκόντων προστάται τοῦ ναυτικοῦ ἐγενόμεθα;

ζ΄. Ουκοῦν καὶ Θηβαῖοι εὐεργετούμενοι, ἡγεμονεύειν αὐτῶν ἔδωκαν Αθηναίοις; ἀλλὰ μὴν καὶ Λακεδαιμόνιοι οὐ βιασθέντες ὑφ᾽ ἡμῶν, ἀλλ᾽ εὖ πάσχοντες, ἐπέτρεψαν Αθηναίοις περὶ τῆς ἡγεμονίας θέσθαι ὅπως βούλοιντο.

η΄. Νῦν δέ γε διὰ τὴν ἐν τῇ Ελλάδι ταραχὴν παραπεπτωκέναι μοι δοκεῖ τῇ πόλει, ὥστε καὶ ἄνευ πόνων, καὶ ἄνευ κινδύνων, καὶ ἄνευ δαπάνης ἀνακτᾶσθαι

τοὺς

5. Quod ſi nemo his contradicit, ſed nonnulli dum civitati principatum recuperare cupiunt, bello magis, quam pace, id effici poſſe arbitrantur: ii velim primum Medica mihi bella conſiderent, utrum vi potius, an noſtris erga Græcos beneficiis & maris principatum, & Græciæ quæſturam adepti ſimus

6. Præterea quum ſævius uti hac præfectura viſa civitas, imperium amiſiſſet; an non tum quoque ab injuriis abſtinentes, rurſus ab inſulanis ad hoc ſponte ſua permotis navalem præfecturam conſequuti ſumus?

7. Quid? an non Thebani quoque provocati beneficiis imperii ſummam Athenienſibus conceſſerunt? Quin & Lacedæmonii non vi coacti à nobis, ſed beneficiis adfecti, Athenienſibus, ut quod vellent de principatu conſtituerent, permiſerunt.

8. Nunc vero propter hanc rerum in Græcia perturbationem hoc accidiſſe civitati noſtræ videtur, ut nullo negotio, ſine periculo, ſine ſumtu, Græcos ſibi rurſus

τοὺς Ἕλληνας. ἔστι μὲν γὰρ πειρᾶσθαι διαλλάττειν τὰς πολεμούσας πρὸς ἀλλήλας πόλεις, ἔστι δὲ συναλλάττειν εἴ τινες ἐν αὐταῖς στασιάζουσιν.

θʹ. Εἰ καὶ ὅπως τὸ ἐν Δελφοῖς ἱερὸν αὐτόνομον (ὥσπερ πρόσθεν) γένοιτο, φανεροὶ εἴητε ἐπιμελούμενοι, μὴ συμπολεμοῦντες, ἀλλὰ πρεσβεύοντες ἀνὰ τὴν Ἑλλάδα, ἐγὼ μὲν οὐδὲν ἂν οἶμαι θαυμαστὸν εἶναι, εἰ καὶ πάντας τοὺς Ἕλληνας ὁμογνώμονάς τε, καὶ συνόρκους, καὶ συμμάχους λάβοιτε ἐπ' ἐκείνους, οἵ τινες ἐκλιπόντων Φωκέων τὸ ἱερὸν καταλαμβάνειν ἐπειρῶντο.

ιʹ. Εἰ δὲ καὶ ὅπως ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν εἰρήνη ἔσται, φανεροὶ εἴητε ἐπιμελόμενοι, ἐγὼ μὲν οἶμαι πάντας ἂν εὔχεσθαι, μετὰ τὰς ἑαυτῶν πατρίδας, Ἀθήνας μάλιστα σώζεσθαι.

ιαʹ. Εἰ δέ τις αὖ εἰς χρήματα κερδαλεώτερον νομίζει εἶναι τῇ πόλει πόλεμον, ἢ εἰρήνην, ἐγὼ μὲν οὐκ οἶδα, πῶς ἂν ἄμεινον ταῦτα κριθείη, ἢ εἴ τις τὰ προγεγενημένα ἔπι ἀνασκοποίη τῇ πόλει πῶς ἀποβέβηκεν.

ιβʹ. Εὑρή-

ſus adjungere poſſit. Civitates enim, quæ inter ſe bella gerunt, niti licet ut reconciliemus: licet etiam, ſiqui in illis diſſideant, in gratiam ut redeant, efficere.

9. Si declaretis vobis eſſe curæ, ut templo Delphico libertas priſtina reſtituatur, idque efficiatis non belli cum aliis ſocietate, ſed mittendis per Græciam legatis: nihil erit mirum, ſi Græcos omnes vobiſcum unanimes, confœderatos, ſocios habebitis adverſus illos, qui templum Delphicum à Phocenſibus deſertum occupare conati ſunt.

10. Quod ſi etiam aperte detis operam, ut terra marique omnia pacata ſint: equidem cunctos exiſtimo votis experituros, ut Athenæ, ſecundum patriam cujuſque ſuam, maxime ſalvæ ſint.

11. Si rurſus quiſquam eſt, qui exiſtimet, bellum, quam pacem, eſſe reipublicæ noſtræ magis fructuoſum ad pecuniam conficiundam: non video, qua ratione hæc melius dijudicari poſſint, quam ſiqui res ante geſtas conſideret, qui fuerint earum eventus civitati noſtræ.

12. Re-

ιβʹ. Εὑρήσει γὰρ τό, τε παλαιὸν ἐν εἰρήνῃ μὲν πάνυ πολλὰ χρήματα εἰς τὴν πόλιν ἀνενεχθέντα, ἐν πολέμῳ δὲ ταῦτα πάντα καταδαπανηθέντα· γνώσεται δέ, ἢν σκοπῇ, καὶ ἐν τῷ νῦν χρόνῳ διὰ μὲν τὸν πόλεμον καὶ τῶν προσόδων πολλὰς ἐκλειπούσας, καὶ τὰς εἰσελθούσας εἰς παντοδαπὰ [πολλὰ] καταδαπανηθείσας. ἐπεὶ δὲ εἰρήνη κατὰ θάλατταν γεγένηται, ηὐξημένας τε προσόδους, καὶ ταύταις ἐξὸν τοῖς πολίταις χρῆσθαι ὅ, τι βούλοιντο.

ιγʹ. Εἰ δέ τίς με ἐπερωτῴη, εἰ καὶ ἄν τις ἀδικοίη τὴν πόλιν, λέγεις ὡς χρὴ καὶ πρὸς τοῦτον εἰρήνην ἄγειν; οὐκ ἂν φαίην· ἀλλὰ μᾶλλον λέγω, ὅτι πολὺ θᾶττον ἂν τιμωροίμεθα αὐτούς, εἰ μηδένα παρέχοιμεν ἀδικοῦντα· οὐδένα γὰρ ἂν ἔχοιεν σύμμαχον.

ΚΕΦ. ϛʹ.

ΑΛΛ᾽ εἴ γε μὴν τῶν εἰρημένων ἀδύνατον μὲν μηδέν ἐστι, μηδὲ χαλεπὸν, πραττομένων δὲ αὐτῶν προσφιλέστεροι μὲν τοῖς Ελλησι γενησόμεθα, ἀσφαλέστερον δὲ οἰκήσομεν,

εὐκλεέστεροι

12. Reperiet enim, quondam in pace permultum pecuniæ in urbem invectum, quæ omnis bello abſumta fuerit. Intelliget etiam, ſi conſiderare volet, hoc quoque tempore multos proventus bello defeciſſe; & eos, qui percepti ſint, in omnis generis uſus exhauſtos eſſe. Jam vero pacato mari, eoſdem & auctos eſſe, & iis uti licere civibus arbitratu ſuo.

13. Si quis autem me roget, an etiam aliquo injuria civitatem hanc adficiente, cenſeam cum eo pacem colendam; equidem id dicere nolim, ſed hoc potius adfirmo, nos hoſtes facilius ulciſci poſſe, ſiquidem à nobis auctor injuriæ nullus exiſtat. Quippe ſic adverſarii nullos habebunt belli ſocios.

CAP. VI.

SEd enim ſi nihil eſt eorum, quæ à me dicta ſunt, quod fieri non poſſit, & quidem facile; ac iſtæc agendo ſi Græcis amiciores & gratiores erimus, urbem tutius incolemus,

gloria

εὐκλεέστεροι δὲ ἐσόμεθα, καὶ ὁ μὲν δῆμος τροφῆς εὐπορήσει, οἱ δὲ πλούσιοι τῆς εἰς τὸν πόλεμον δαπάνης ἀπαλλαγήσονται· περιουσίας δὲ πολλῆς γενομένης, μεγαλοπρεπέστερον μὲν ἔτι ἢ νῦν ἑορτὰς ἄξομεν, ἱερὰ δὲ ἐπισκευάσομεν, τείχη δὲ καὶ νεώρια ἀνορθώσομεν, ἱερεῦσι δὲ καὶ βουλῇ, καὶ ἀρχαῖς, καὶ ἱππεῦσι τὰ πάτρια ἀποδώσομεν· πῶς οὐκ ἄξιον ὡς τάχιστα τούτοις ἐγχειρεῖν, ἵνα ἔτι ἐφ' ἡμῶν ἐπίδωμεν τὴν πόλιν μετ' ἀσφαλείας εὐδαιμονοῦσαν;

β'. Εἴγε μὴν ταῦτα δόξειεν ὑμῖν πράττειν, συμβουλεύσαιμ' ἂν ἔγωγε πέμψαντας καὶ εἰς Δωδώνην καὶ εἰς Δελφοὺς, ἐπέρεσθαι τοὺς θεοὺς, εἰ λῷον καὶ ἄμεινον εἴη ἂν τῇ πόλει οὕτω κατασκευαζομένῃ, καὶ αὐτίκα καὶ εἰς τὸν ἔπειτα χρόνον.

γ'. Εἰ δὲ ταῦτα συναινοῖεν, τότ' ἂν αὖ φαίην χρῆναι ἐπερωτᾷν, τίνας θεῶν προσποιούμενοι, ταῦτα κάλλιστα καὶ ἄριστα πράττοιμεν ἄν. οὓς δ' ἂν ἕλοιεν θεοὺς,

gloria majore fruemur, plebs rebus omnibus ad victum neceſſariis abundabit, locupletes impenſis bellicis liberabuntur: quumque futura ſit major omnium rerum copia, magnificentius etiam quam nunc dies feſtos celebrabimus, & templa inſtaurabimus, itemque muros & navalia reficiemus; ſacerdotibus, ſenatui, magiſtratibus, equitibus more patrio præberi ſolita reſtituemus: quo pacto non fuerit operæ pretium, nos hæc quam primum adgredi, ut etiam nobis adhuc ſuperſtitibus rempúblicam in tuto collocatam felicemque videamus?

2. Quod ſi vobis hæc agenda placuerit, equidem id conſilii dederim, ut aliquibus Dodonam Delphoſque miſſis, deos illos conſulatis: an ſatius meliuſve ſit huic civitati, tam in præſentia, quam in poſterum, hanc ejus formam inſtitui.

3. Si adnuerint, cenſerem rurſus interrogandos, quoſnam deos nobis conciliando, quam rectiſſime atque optime ſimus hæc effecturi. Quoſcunque vero deos illi ſelegerint,

θεοὺς, τούτοις εἰκὸς καλλιερήσαντας ἄρχεσθαι τοῦ ἔργου. σὺν γὰρ θεῷ πραττομένων εἰκὸς καὶ τὰς πράξεις προϊέναι ἐπὶ τὸ λῷον καὶ ἄμεινον ἀεὶ τῇ πόλει.

ΞΕΝΟ-

ſelegerint, iis litando placatis, rem ordiri par erit. Nam quæ res numine propitio ſuſcipiuntur, eas ſemper reipublicæ melius feliciuſque ceſſuras, conſentaneum eſt.

XENO-

Variæ Lectiones cum Annotatiunculis.

Orat. de Ageſilao. P. 1. *l.* 4. Sunt quibus videtur particula δὲ mutanda eſſe in ἤδη, ut ejuſmodi ſit ſenſus, [non æquum eſt, Ageſilaum, quod digne laudari nequeat, propterea nec minores (ſuis meritis) conſequi laudes]. *p.* 3. *l.* 16. rectius τριήκοντα & *l.* 17. rect. διχιλίυς, quibus numeris non ſemel fidem faciunt Autoris Hellenica. *p.* 4. *l.* 17. rect. πέμψειν. *p.* 8. *l.* 5. rect. ἁλίσκοιντο. *p.* 9. *l.* 10. Deſideratur poſt τειχέων accuſativus τινά. *p.* 12. *l.* 4. rect. ἔτω *l.* 11. Lege εὐθὺς εἰς τ̃ ex Hellen. *p.* 13. *l.* 1. pro ἐπηρμένυς rectius ſcribitur ἰσοπαρμένυς in Hellen. itidem *l.* 11. pro τινα ἀφ' ἥβης iſtic ſcribitur τὰ δέκα ἀφ' ἥβης. ut ſit ſenſus, [eos qui annis decem pubertatem exceſſerant]. *l.* 16. Deſiderari cenſet Leuncl. πάντα τὰ ante δεινά. *p.* 16. *l.* 4. Inſerenda ſunt vocabula ὁ ἐπιστέλλων, uti recte colligit Leuncl. ex lib. *4to.* Hellen. *p.* 16. *l.* 5. rect. ἐφορείῳ. *p.* 18. *l.* 16. al. τὺς ἱππεῖς. *p.* 19. *l.* 5. male pro Ναρθακιέων, ut conſtat ex Hellen. itidem. *l.* 7. male pro Ναρθακίυ. *l.* 12. Hellenica poſt Ἀθηναίυς habent Ἀργείυς. *p.* 21. *l.* 4. lege ἰσοπάλυς. *l.* 16. al. Κυρείαν. *p.* 22. *l.* 5. al. εἴκοσαν. *p.* 23. *l.* 4. al. προσσυνήνικτο. *p.* 24. *l.* 3. al. Γῦλιν. *p.* 25. *l.* 12. lege τείχη, ἃ ἀντεπετείχισο. *p.* 29. *l.* 9. al. πολὺν χρόνον. *l.* 13. rect. ἀπέπεμψεν, vocab. δόντες (verſu ſequenti) in δὺς mutato. *p.* 32. *l.* 7. Lacunam hanc optime ſuppleas injectis vocab. καὶ τοῖς ἑαυτῶ. *p.* 36. *l.* 4. al. ὀργίας. *p.* 40. *l.* 10. al. πειθομένοις ἑταίροις. *p.* 44. *l.* 4. Scribe ex Hellen. ἐγγὺς δὲ τῶ πολεμίων μύειοι. *p.* 47. *l.* 9. rect. τύτῳ. *p.* 51. l. 9. rect. ὐδέν. *p.* 59. *l.* 4. Locum hunc ita integrum legiſſe videtur Philelphus hujus orationis (in edit. Genev.) interpres, ἐφιέμενος ἀρετῆς, ἴσως τὸ.

Reſpubl. Lacedam. P. 63. *l.* 8. Leuncl. εἴπνα βλας. *p.* 65 *l.* 9. al. ἕκαστον. *l.* 12. al. καθίζειν. *p.* 66. *l.* 10. Vitioſum hunc locum ita corrigas, σῖτόν γε μὴν τοσ. ἔχειν συμβέβλησθαι. *p.* 68. *l.* 5. Lege cum Leuncl. τυρὺς καλὸν θεὶς, παρ' Ὀρθίας μαστιγῦν. Ut vero conſtet emendationis ratio, conſule

Pauſaniam in Laconicis, & Plutarchi Lycurgum. *p.*72. *l.* 3. al. ἐν τοῖς ὀφθαλμοῖς. *l.* 4. al. φιδίτιον. *p.* 75. *l.* 15. rect. συσκηνούντων. *p.* 77. *l.* 3. al. ἀρκούντως. *l.* 5. Leuncl. non male pro σιτίων legit συσσιτίων. Poteſt quidem retineri vulg. lectio, atque ita reddi, [ne quando vincerentur à cibis]. *p.* 87. *l.* 8. Scribendum videtur πολεμικωτάτην δὲ τήνδ' ἐϛὶ, & vocab. τήνδ' (quod periit propter ſimilitudinem cnm literis proxime præcedentibus) ad ἀσπίδα referendum. Nec enim video, cur rationem redderet Xenophon inſtituti veſtimenti punicei, non item ſcuti ærei: certe verba proxime ſequentia ſcrupulum omnino eximunt, quum non poſſint niſi de ſcuto æneo intelligi. *p.* 89. *l.* 8. Hoc eſt, ſiniſtram verſus: ſimiliter *p.* 90. *l.* 7. Intelligendum eſt, verſus dextram. *p.* 93. *l.* 14. De polemarchis jam ante dictum; neç illi profecto poſt haruſpices, medicos, tibicines, recenſendi erant. Quapropter alios minorum gentium præfectos hoc loco fuiſſe poſitos à Xenoph. ſtatuendum eſt, adeoque ſupplendum, quod deeſt, ex pag. præced. *l.* 10. ubi leguntur ϛρατοῦ σκευοφορικοῦ ἄρχοντες.

Reſpubl. Athen. P. 103. *l.* 14. Deſideratur vocab. ἔνεϛιν (aut aliquod tale) ante ἐνίοις. *p.* 106. *l.* 2. Locum hunc ita legendum eſſe cenſet Leuncl. ἵνα λαμβάνωμεν ὧν πράττει (ſcil. τὰ ἀνδράποδα) ἀποφοράς. *l.* 15. Vocab. οὐ deletum ante καλὸν, reponendum eſt ante καταλέλυκεν, quo minus ſibi contradicat Autor, qui infra Κεφ. β'. ι'. exercitia corporum &c. minime ſublata dicit ab Athenienſibus. *p.* 107. *l.* 1. Leuncl. male accipit act. χορηγεῖν in primaria ſua ſignificatione, & paſſ. χορηγεῖσθαι in ſecundaria; utrumque enim eodem ſenſu heic loci accipiendum eſſe, ex Antitheſi conſtat. *p.* 110. *l.* 9. Hunc locum ſic emendat Leuncl. ἐλαύνουσιν εὐθὺς οἷον εἰσβάντες; malim ego ἐλαύνειν εὐθέως οἷοί τ' εἰσὶν εἰσβάντες. *p.* 112. *l.* 12. Locus hic ita cum Leuncl. in integrum reſtituendus eſt, ἀποβῆναι· οὐ δ' ἧττον ταύτης. *p.* 113. *l.* 8. rect. ἠθροίσθη. *p.* 116. *l.* 17. Vitioſum hunc loc. ita corrigas, ὑφ' ὅτου ἀδικεῖσθαι νομίσειε τις, ἢ ὑπὸ τῶν ὀλίγων *p.* 121. *l.* 16. lege ἐπαρκοῦσιν. *p.* 122. *l.* 5. Forte ἐς τὸ πολύ.

Convi-

Convivium. *P.* 132. *l.* 8. Redundat ὅτων. *l.* 10. Rectius legit Ariſtides μετ' ἐ προσδ. *p.* 133. *l.* 16. al. τοῦτο. *p.* 134. *l.* 8. al. συνεμένους. *p.* 148. *l.* 4. Varia eſt hujuſce loci emendatio V. G. ἀλλὰ μισθῷ ἐν αὐταῖς, vel ἀλλ' ἐν μισθῷ αὐταῖς, vel ἀλλ' ἐμμίσθους αὐτάς, quæ Stephano potiſſima videtur. *p.* 149. *l.* 6. Vide Iliad. *ν.* *l.* 10. Vide Iliad. λ. *p.* 153. *l.* 4. Omittendum videtur ὅτι ante θαλλοφ. & δὲ in γε mutandum, vel prorſus expungendum. *p.* 155. *l.* 16. Alludit Socrates ad duplicem verbi φιλεῖσθαι ſignificationem. *p.* 160. *l.* 12. rect. ἐμέ γ' ἔτι. *p.* 161. *l.* 1. Lege ἧττον δὲ τούτων, ὅτι μοι. *p.* 167. *l.* 17. Deſiderari videtur ἡ ταύτην poſt τοῦτον. *p.* 170. *l.* 1. Senſus exigit καλόν. *p.* 185. *l.* 5. Lege cum Leuncl. ἧττον διὰ τοῦτο καὶ ἐπαφρ.

Hiero ſive de Rege. *P.* 229. *l.* 1. Rectius οἶδέν τι ἤ. τίναν γὰρ &c. *p.* 230. *l.* 15. Leuncl. hæc verba de tyrannis intelligit, & quaſi vitioſa ita corrigit, καὶ ἄλλοις αὐτοὺς ἀεὶ τιμ. *p.* 233. *l.* 16. Omittendum videtur ἐπὶ. *p.* 246. *l.* 2. Scribendum videtur τοῦ ἴδη νικᾷν τῷ &c. *p.* 248. *l.* 3. Forte ὥσπερ.

Rationes Redituum. *P.* 251. (a) Marmor Hymetti montis in Attica. *p.* 271. *l.* 3. Leuncl. mallet legere Ἀναφλυστίῳ. *p.* 272. *l.* 15. Forte δημοσίων.

F I N I S.